www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ ΑΣΜΑΤΙΚΗ

ΤΟΥ ΑΓΙΟΥ ΜΑΡΤΥΡΟΣ

# ΘΕΟΦΙΛΟΥ

ΤΟΥ ΖΑΚΥΝΘΙΟΥ

ΜΑΡΤΥΡΗΣΑΝΤΟΣ ΕΝ ΧΙΩ

ΣΥΝΤΕΘΕΙΣΑ ΥΠΟ ΤΟΥ ΘΕΟΛΟΓΙΚΩΤΑΤΟΥ

## ΓΕΩΡΓΙΟΥ ΚΟΡΕΣΣΙΟΥ

ΤΟΥ ΧΙΟΥ

ΝΥΝ ΠΡΩΤΟΝ ΕΚΔΟΘΕΙΣΑ

ΤΗ ΕΚΚΛΗΣΙΑΣΤΙΚΗ ΕΓΚΡΙΣΕΙ

Ἐπιστασίᾳ καὶ διορθώσει τοῦ Κ. Ἱερομ. Στρατούλη

*ΔΑΠΑΝΗ ΔΕ ΣΕΡΓΙΟΥ Χ. ΡΑΦΤΑΝΗ.*

ΒΙΒΛΙΟΘΗΚΗ ΑΓΓΕΛΟΥ Ν. ΠΑΠΑΚΩΣΤΑ

ΒΙΒΛΙΟΘΗΚΗ ΑΓΓΕΛΟΥ Ν. ΠΑΠΑΚΩΣΤΑ

**ΕΝ ΖΑΚΥΝΘΩ,**

ΤΥΠΟΓΡΑΦΕΙΟΝ Ο ΠΑΡΝΑΣΣΟΣ

ΣΕΡΓΙΟΥ Χ. ΡΑΦΤΑΝΗ

Διευθυνόμενον ὑπὸ Νέστορος Ι. Τρουσσοπούλου.

1856.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

123315

www.tezaurliturgic.ro

# 1856. ΜΑΡΤΙΟΥ 26 Ε. Π.

Η Αὐτοῦ Πανιερότης ὁ Μητροπολίτης Ζακύνθου Κύριος Κύριος ΝΙΚΟΛΑΟΣ ἀναγνώσας τὴν ἀπὸ 24 λήγοντος παρ' αὐτῷ προσαχθεῖσαν ἀναφορὰν τοῦ Κυρίου Σεργίου Χ. Ῥαφτάνη, ἰδὼν ὅτι δι' αὐτῆς τῆς ἀναφορᾶς προτίθεται μὲν νὰ ἐκδώσῃ διὰ τοῦ τύπου ὁ ῥηθεὶς Κύριος τὴν Ἀσματικὴν Ἀκολουθίαν καὶ τὸν Βίον τοῦ νεοφανοῦς ἐνδόξου καὶ αὐτόχθονος Μάρτυρος ΘΕΟΦΙΛΟΥ τοῦ Ζακυνθίου μαρτυρήσαντος ἐν Κίῳ τὸ ἔτος 1635 Ἰουλίου 24, ἐξαιτεῖται δὲ τὴν Ἀρχιερατικὴν ἔγκρισιν.

## Ἡ Αὐτοῦ Πανιερότης

Διεξελθοῦσα ἀκριβῶς τὴν ῥηθεῖσαν Ἀκολουθίαν καὶ τὸν Βίον καὶ εὑροῦσα πάνυ ὠφέλιμον εἰς τοὺς πιστοὺς καὶ ἰδίως τῆς νήσου ταύτης τὴν διὰ τοῦ τύπου πολλαπλασίασιν αὐτῶν· ἐπαινοῦσα δὲ καὶ τὸν περὶ τὰ θρησκευτικὰ διακαῆ ζῆλον τοῦ εἰρημένου Κυρίου Ῥαφτάνη παρέχει αὐτῷ τὴν ἐξαιτηθεῖσαν τῆς ἐκτυπώσεως ἄδειαν, ἵνα καὶ τλ.

Νικόλαος Μητροπολίτης Ζακύνθου

Τ. Σ.

Χ. Ἱερεὺς Ῥουσσελάτος Ἱερογραμματεύς

123315

www.tezaurliturgic.ro

# ΤΩι ΠΑΝΙΕΡΩΤΑΤΩι

ΚΑΙ

# ΘΕΟΠΡΟΒΛΗΤΩι

# ΜΗΤΡΟΠΟΛΙΤΗι ΖΑΚΥΝΘΟΥ

ΚΥΡΙΩι ΚΥΡΙΩι

# ΝΙΚΟΛΑΩι ΚΟΚΚΙΝΗι

ΑΝΔΡΙ ΕΝΑΡΕΤΩι

ΕΙΣ

## ΣΕΒΑΣΜΟΥ ΤΕΚΜΗΡΙΟΝ

*ΤΗΝ ΔΕ ΑΚΟΛΟΥΘΙΑΝ*

ΑΝΑΤΙΘΗΣΙΝ

*Ο ἐκδότης.*

www.tezaurliturgic.ro

# ΙΗΣΟΥΣ ΧΡΙΣΤΟΣ.



«Καὶ ὁ λόγος σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν.» (Ἰωαν. Α'. 14.)

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

www.tezaurliturgic.ro

# ΜΗΝΙ ΙΟΥΛΙΟΥ ΚΔ΄. (24).

# ΜΝΗΜΗ

## ΤΟΥ ΑΓΙΟΥ ΜΑΡΤΥΡΟΣ

# ΘΕΟΦΙΛΟΥ

## ΤΟΥ ΕΝ ΧΙΩ.

Ἑσπέρας μετὰ τὸν προοιμιακὸν, στιχολογοῦμεν τὸ ά. ἀντίφωνον, τὸ Μακάριος ἀνήρ· εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους ς΄. καὶ ψάλλομεν στιχηρὰ προσόμοια γ΄. ποιοῦντες αὐτὰ ς΄.

Ἦχος ά. Πρὸς τῶν Οὐρανίων Ταγμάτων.

Ὁ ἱερώνυμος μάρτυς θεῖος Θεόφιλος, ὡς ἀπολαύσων ῥόδου δόξης ἐπουρανίου ἀνέτλη τὰς ἀκάνθας διὰ πυρός· εἰ γὰρ πόνων τραχύτητι, εὐδαιμονίας ὑλικῆς ἡ κτῆσις κτᾶται βροτοῖς, πόσῳ μᾶλλον ἡ ἀκήρατος.

www.tezaurliturgic.ro



Ὅμοιον.

Ὁ θεατὴς τῆς μελλούσης μακαριότητος, τοῦ ἀκροτάτου τέλους· διὸ φύσις ἀνθρώπων, οὐκ ἀπειλαῖς, οὐδ᾽ αἰκίαις ἐτέμνετο τοῦ ἀρχετύπου σωτῆρος εἰκὼν σοφὴ, πλάσις θεία καὶ τὰ στίγματα.

Ὅμοιον.

Ὁ μιμητὴς στρατιώτης τοῦ ἡγεμόνος Χριστοῦ, πνεύματι προσπαλαίων ἀκαθάρτῳ καὶ κόσμῳ, σαρκί τε καὶ τυράννῳ φρόνιμος ἦν, ὡς ὄφις πρῶτον κεφάλαιον τῆς εὐσεβείας τηρήσας, πέλεια δὲ πράξεως θείας, διπλῆ ἄμωμος.

Δόξα ἦχος Πλ. Β'.

Ζακύνθιον σέλας ἀξιάγαστε Θεόφιλε, τῆς τοῦ Κυρίου σημαίας ὀπαδὲ γνησιώτατε, καὶ ἀναιρέτα τῶν λήρων τῶν Ἀγαρηνῶν καὶ τῆς πλάνης στηλιτευτὰ θεόσοφε, χαίροις ὦ τῶν ὀρέων στεῤῥὸν, ἐφ᾽ οὗ ὁ οἶκος τοῦ Θεοῦ ᾠκοδόμηται, ὡς ἔφη ὁ ψαλμωδὸς, χαίροις, θαλερὲ βλαστὲ, τοῦ ἀγλαοκάρπου τῆς εὐσεβείας δένδρου τῇ ἰκμάδι τοῦ πνεύματος κάτοχε καὶ τοῖς αἵμασι τοῦ Κυρίου πιαινόμενε, χαίροις, ἀκη-

www.tezaurliturgic.ro



λίδωτον ἔσοπτρον, τὸ ἀμιγὲς τῶν κάτω χαρακτήρων καὶ τῶν ἄνω ἔμπλεων, πρέσβευε οὖν καὶ ὑπὲρ ἡμῶν ὅπως στεῤῥῶς τῇ εὐσεβείᾳ προσαρμοσθῶμεν σῇ μεσιτείᾳ Θεόφιλε.

Καὶ νῦν. Τίς μὴ μακαρίσει σε. Εἴσοδος, προκείμενον τῆς ἡμέρας. Καὶ τὰ ἀναγνώσματα.

*Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα.*

Τάδε λέγει Κύριος· πάντα τὰ ἔθνη συνήχθησαν ἅμα καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν· τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς, ἢ τὰ ἐξ ἀρχῆς τίς ἀκουστὰ ποιήσει ἡμῖν; ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν καὶ εἰπάτωσαν ἀληθῆ, γίνεσθέ μοι μάρτυρες καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεὸς, καὶ ὁ παῖς ὃν ἐξελεξάμην, ἵνα γνῶτε καὶ πιστεύσητέ μοι καὶ συνῆτε ὅτι ἐγώ εἰμι· ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεὸς, καὶ μετ' ἐμὲ οὐκ ἔσται, ἐγώ εἰμι ὁ Θεὸς καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σώζων· ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα· ὠνείδισα καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος· ὑμεῖς ἐμοὶ μάρτυρες καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός· ὅτι ἀπ' ἀρχῆς ἐγώ εἰμι· καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος ποιήσω καὶ τίς ἀποστρέψει αὐτό; οὕτω λέγει Κύριος ὁ Θεὸς, ὁ λυτρούμενος ἡμᾶς ὁ ἅγιος Ἰσραήλ.

*Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.*

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ· καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κο-

www.tezaurliturgic.ro



λασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ, ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτοὺς, καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν· καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας, οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.*

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν καὶ ἡ φροντὶς αὐτῶν παρὰ ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου ὅτι τῇ δεξιᾷ σκεπάσει αὐτοὺς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν· λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ· καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν· ἐνδύσεται θώρακα δικαιοσύνην καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν, συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται· καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης· ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως, ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς· καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς, καὶ σύνετε, μάθετε, δικασταὶ

www.tezaurliturgic.ro



περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ ὑψίστου.

Εἰς τὴν λιτὴν ἦχος ά.

Τὸν στερεὸν καὶ ἀήττητον τῆς πίστεως ἀδάμαντα, τὸν μὴ εἴξαντα οὐδὲ πυρὶ οὐδὲ μάστιξιν οὐδ᾽ ἄλλῃ ἰδέᾳ βασάνων· μόνῳ δ᾽ ἡττηθέντα τῷ ἀρνίου αἵματι, συνελθόντες εὐφημήσωμεν, χαῖρε λέγοντες Θεόφιλε χαριτώνυμε, αἵματι μὲν πεφοινιγμένε· οἷόν τι δ᾽ ὄρος καθιδρυμένος ἐν μέσῳ τῆς ἐνύλου θαλάσσης καὶ τῶν προσβολῶν ἀνώτερε· ὅθεν τοὺς ἐκπτώτους τῆς τοῦ Ἀβραὰμ κληρονομίας, εὐθαρσῶς κατημαύρωσας καὶ διήνυσας ἀκριβῶς τὴν ἧτταν τῆς ἀθλήσεως, δεήθητι οὖν τοῦ Θεοῦ, μάρτυς ἀκράδαντε, ἐπιρρώνυμένας τῇ πίστει τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα ἦχος Πλ. ά.

Πανηγύρεως ἡμέρα, κέρδος οὖν πραγματευσώμεθα, οὐ μικρὸν, οὐδ᾽ ἐφήμερον· οὐδὲ χθονίοις λαγόσι κατορυττόμενον, τοῖς χθαμαλοῖς ὂν ἐράσμιον, πτήσει ὄντως καὶ σκιᾷ κατάλληλον, ἀντάλλαγμα γενέσθω δ᾽ ἡμῖν τῶν ῥεόντων τὰ ἀΐδια, μὴ οὖν ληξάτω ὁ χρόνος, καὶ μενοῦμεν ἄκαρ-

www.tezaurliturgic.ro



ποι, ἔλωμεν ἀδελφοὶ μὴ τὴν δοκοῦσαν εὐδαιμονίαν, τῇ λύπῃ σύμμικτον, μᾶλλον δ᾽ ὡς τὴν διάνοιαν στάσιμοι, προελώμεθα ταύτης τὴν παντοίας λύπης ἀμέτοχον· τὴν ὄντως ἄκραν εὐδαιμονίαν καὶ ἀριστείαν τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν Θεοτόκε μακαριζομένα

Εἰς τὸν στίχον ϛ΄. ἦχος δ΄.

Ἔδωκας σημείωσιν

Δεῦτε φιλομάρτυρες, πνευματικῶς εὐφημήσωμεν, ἑορτὴν πανασίδιμον, τοῦ γενναίου μάρτυρος, ἀνδρὸς Θεοφίλου, ὕμνοις θεοφίλοις καταφλεχθέντες τῷ πυρὶ διὰ τὴν φλόγα τοῦ θείου ἔρωτος, ὅνπερ καὶ ἱκετεύσωμεν, ἡμῖν τῶν θείων ἀνάψασθαι λαμπρὰν φλόγα καὶ ἄδυτον τρισηλίου θεότητος.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

Ὁπότε Θεόφιλος, ὡς τὸ ἀρνίον τὸ ἄκακον τοῦ Χριστοῦ περιείλκετο, ἣν δίκη ὑπόδικος· ὑπ᾽ ἀγρίων λύκων, δηκτικῶν ἀνόμων· ὡς σκύμνος ἦν κατὰ ψυχὴν, τοὺς ἀντιθέτους μὴ δεδιττόμενος πυρὶ γὰρ ὑπελάμβανεν, ὥσπερ χρυσὸς βασανίζεσθαι, ὁ θεόφρων Θεόφιλος· ποιναῖς ὅθεν ἠγάλλετο.

www.tezaurliturgic.ro



Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

Ηνίκα Θεόφιλος, εἱρκταῖς δειναῖς καθειργνύετο ἀνηλίοις, ὡς ἥλιος αὐτὰς περιήστραπται, τριλαμποῦς, ἡλίου ἔχων λαμπηδόνας δι᾽ ὧν ὁ ζόφος φέρει φῶς τοῖς τὴν καρδίαν κρύσταλλον ἔχουσιν, αἷς τὸ κατὰ διάμετρον πρὸς τὸν ἀκήρατον ἥλιον, καὶ τοὺς ἄλλους ἐφαίδρυνεν ὡς φωστὴρ διαυγέστατος.

Δόξα ἦχος δ΄.

Δεῦτε ἑορτάσωμεν, λαοί, τὴν τοῦ ἀθλοφόρου πανήγυριν σήμερον· φύσει οὖσαν μετ᾽ ἐγκωμίων· ὡς ἔφη ὁ Σολομών, καὶ χαρμονὴν λαῶν ἀκατάληπτον τῆς ἀθανασίας ἀγῶνα, ὡς μαγνῆτις λίθος τὸν σίδηρον, τοὺς φιλεόρτους ἐφέλκοντα, οὐ πάλαις, οὐ δρόμοις κατεπειγομένους· οὐδ᾽ ἄλλοις ἐπιπονωτέροις γυμνάσμασιν, ὧν τύφος ὁ στέφανος, καὶ καπνὸς παρερχόμενος, ἀλλ᾽ ἆθλον κατὰ τῶν ψυχοφθόρων πνευμάτων, ᾧ ἡ ἧττα φέρει τὸ θεῖον διάδημα, τὴν αὐτάρκη ἀντιμισθίαν καὶ σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Ἀπολυτίκιον ἦχος δ΄.

Μεγάλα τὰ τῆς πίστεως κατορθώματα ἐν

www.tezaurliturgic.ro



τῇ φλογὶ τοῦ πυρὸς, ὥσπερ ἐν ὕδατι δροσιζόμενος, ὁ ἅγιος μάρτυς Θεόφιλος ἠγάλλετο, καὶ τὸν Χριστὸν μόνον Θεὸν διαπρυσίως ἐκήρυττεν, ᾧ καὶ πρεσβεύει ἀδιαλείπτως, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν Θεοτοκίον Πάντα ὑπὲρ ἔννοιαν. Εἰς τὸν ὄρθρον μετὰ τὴν πρώτην στιχολογίαν, κάθισμα, ἦχος α'.

Τὸν τάφον σου Σωτήρ.

Ἐφλέχθης τῷ πυρὶ, ὁ πυρίπνους μαρτύρων, σωζόμενος πυρὶ ὑπερφώτου Τριάδος, διὸ καὶ ἀμαρύγματι τούτου πάντας ἐφώτισας· μηδὲν τίθεσθαι τὴν τοῦ πυρὸς μικρὰν φλόγα, κατοπτρίζοντας τῆς φεγγοβόλου Τριάδος τὸ φῶς τὸ ἀνέσπερον.

Καὶ νῦν Θεοτοκίον ὅμοιον.

Μαρία τὸ σεπτὸν, τοῦ δεσπότου δοχεῖον· ἀνάστησον ἡμᾶς πεπτωκότας εἰς χάος δεινῆς ἀπογνώσεως καὶ πταισμάτων καὶ θλίψεων· σὺ γὰρ πέφυκας ἁμαρτωλῶν σωτηρία, καὶ βοήθεια καὶ κραταιὰ προστασία, καὶ σώζεις τοὺς δούλους σου.

Μετὰ τὴν β'. στιχολογίαν καθ. ἦχος πλ. α'.

Τὴν σοφίαν καὶ λόγον

Τὸν γενναῖον ὁπλίτην καὶ ἀθλητὴν ὁπλισθέν-

www.tezaurliturgic.ro



τα τελείως ὅπλοις Χριστοῦ, φέροντα τὴν ἄμαχον πανοπλίαν καὶ μάχαιραν, τοῦ παναγίου πνεύματος ἀσπίδα καὶ κόρυθα, οἷς καθεῖλεν ἀνδρείως ἐχθροῦ μηχανήματα, δεῦτε ἐτησίως εὐφημήσωμεν πάντες· ἐστέφθη γὰρ τὸν στέφανον, στρατιώτης ὡς ἔννομος, καὶ πρεσβεύει τῷ στέψαντι δοῦναι πᾶσι τῶν δεινῶν καὶ τελείαν πταισμάτων συγχώρησιν τοῖς ἐκ καρδίας καὶ πόθου τελοῦσι τὴν μνήμην αὐτοῦ.

Δόξα καὶ νῦν Θεοτοκίον ὅμοιον.

Χαριστήριον αἶνον χρεωστικῶς, ὡς ἡ χήρα ἐκείνη δύο λεπτὰ, προσφέρωσοι δέσποινα ὑπὲρ πασῶν τῶν χαρίτων σου· σὺ γὰρ ὤφθης σκέπη ὁμοῦ καὶ βοήθεια, πειρασμῶν καὶ θλίψεων ἀεί με ἐξαίρουσα· ὅθεν, ὡς ἐκ μέσης φλογιζούσης καμίνου, ῥυσθεὶς τῶν θλιβόντων με, ἐκ καρδίας κραυγάζωσοι, Θεοτόκε βοήθειμοι, πρεσβεύουσα τῷ σῷ υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δοθῆναι μοι· σὲ γὰρ ἔχω ἐλπίδα ὁ δοῦλος σου.

Μετὰ τὸν πολυέλαιον κάθισμ. ἦχος δ'.

Ἐπεφάνης σήμερον.

Ἐλαμπρύνθη σήμερον ταῖς σαῖς ἀκτῖσι πᾶσα νῆσος, ἄριστε μάρτυς Θεόφιλε, σοφὲ, τὸν φω-

www.tezaurliturgic.ro



τοδότην γεραίρουσα, τὸν σὲ ἀστέρα φαιδρὸν ἀναδείξαντα,

Δόξα καὶ νῦν Θεοτοκίον ὅμοιον.

Τὰς ἀχράντους χεῖράς σου, παρθενομῆτορ, ἐφαπλοῦσα σκέπασον τοὺς πεποιθότας ἐπὶ σὲ καὶ τῷ υἱῷ σου κραυγάζοντας, πᾶσι παράσχου Χριστὲ τὰ ἐλέη σου.

Οἱ ἀναβαθμοί. Τὸ ά. ἀντίφωνον τοῦ δ΄ ἤχου. Προκείμενον, Δίκαιος ὡς φοίνιξ ἀνθήσει. στίχ. Πεφυτευμένος ἐν τῷ οἴκῳ. Πᾶσα πνοὴ, τὸ Εὐαγγέλιον. Ὁ πεντηκοστός. Δόξα. Ταῖς τοῦ ἀθλοφόρου. Καὶ νῦν ταῖς τῆς Θεοτόκου. Ἐλέησόν με ὁ Θεός.

Τὸ ἰδιόμελον ἦχος Πλ. β΄.

Σήμερον ἡ τροπαιοῦχος ἑορτὴ τοῦ ἀθλητοῦ Θεοφίλου ἡμᾶς συνήγειρεν, ὅπως διεγείρῃ πρὸς ἆθλον κατὰ τῶν ἀκαθάρτων δυνάμεων, καὶ ἀραμένου κατ᾽ ἐκείνων τρόπαιον ἀξιώσῃ τῆς βασιλείας τοῦ Σωτῆρος τῶν ψυχῶν ἡμῶν.

Σῶσον, ὁ Θεὸς τὸν λαόν σου, καὶ τὰ λοιπά. Οἱ κανόνες. ὁ κανὼν τῆς Θεοτόκου εἰς ς΄. καὶ τοῦ Ἁγίου εἰς ή. Ὁ εἱρμός.

Ὑγρὰν διοδεύσας ὡσεὶ ξηράν.

Ὡς ὄντως Θεόφιλος καρτερῶς ἤλεγξεν ἀθέ-

www.tezaurliturgic.ro



σμους, τοὺς ἐξ Ἄγαρ, οἷα θεσμοῖς ἀνδρὸς πειθηνίοις μυθογράφου· τὸν δὲ Θεὸν καὶ Μεσσίαν ἐτράνωσεν.

Θεὸν καὶ ὁμόδοξον τῷ πατρὶ, ταὐτότητι ἔργων, χαρακτήρων θ᾽ ἁπλῶς Θεοῦ, ἀνθρωπείαν φύσιν ὑποστάντα, ὡς λυτρωτὴν καὶ εὐζωΐας ἀρχέτυπον.

Ἔτι δὲ καὶ λίθον τὸν τῆς Σιὼν, ὡς γίγαντα δραμόντα ἀπ᾽ ἄκρου τοῦ οὐρανοῦ, ἕως ἄλλου ἄκρου ὡς Μεσσίαν, οὗ γενεὰ, ὡς Θεοῦ ἐστιν ἄφρασος.

Θεοτοκίον.

Ἁπάντων τῶν ὄντων δημιουργὸς, διὰ σωτηρίαν τῶν ἀνθρώπων ἐν σῇ γαστρὶ, σκηνώσας σαρκοῦται, θεομῆτορ, τὸ καθ᾽ ἡμᾶς δημιουργούμενος.

Ὠδὴ γ΄. ὁ εἱρμὸς Σὺ εἶ τὸ στερέωμα.

Ἴσμεν σὲ τὸ ἄπειρον, ἄϋλον ὄντα καὶ ἄναρχον· ὅθεν οὐδὲν ἀλλοιώσεως μέτεστί σοι, ἁπλούστατε.

Ὄντως ὁμοούσιος, τῷ πατρὶ καὶ ἰσότιμος, ὡς

www.tezaurliturgic.ro



φοβεροὺς πέμψας ποτὲ ὄφεις κατ' ἐχθρῶν ὁ Φιλάνθρωπος.

Σέβω τρίτον πρόσωπον, τὸ Πνεῦμα τὸ Παναγιον, ἐν φωτὶ φῶς ὁρώμενον, Πατρίτε καὶ Υἱῷ ὁμοούσιον καὶ συνδοξαζόμενον.

Θεοτοκίον

Ἰθυνον πρεσβείαις σου, πρὸς τὴν οὐράνιον ἄνοδον τοὺς εὐσεβῶς κεχαριτωμένη Θεοτόκον φρονοῦντάς σε.

Κάθισμα ἦχος πλ. δ'.

Τὴν σοφίαν καὶ λόγον ἐν σῇ γαστρί.

Τρισυπόστατον κτίστην πάντες Θεὸν, εὐφημήσωμεν ἕνα καὶ τριλαμπῆ, θεὸν οὐ διαιρούμενον· καὶ γὰρ ἡ φύσις θεότητος ἁπλῆ πέφυκε, πλήθει δὲ τῶν προσώπων οὐδὲν κατατέμνεται, ἄκρας ἀπειρίας ὑπαρχούσης ἐν ταύτῃ· τόπων γὰρ μερίσματα ἄγει φύσεως τμήματα, ὡς οὐ πλήθει μερίζεται τῶν ὄντων ὁ μόνος Θεὸς, εἰ οὐδ' ἔξωθεν δρῶντος παράγεται, αἰτιατὰ πυρὸς οἷα ταυτὸν θεοπρόβλητα.

Δόξα καὶ νῦν Θεοτοκίον.

Ὡς παρθένον καὶ μόνην ἐν γυναιξὶ, σὲ ἀ-

www.tezaurliturgic.ro



σπόρως τεκοῦσαν θεὸν σαρκὶ, πᾶσαι μακαρίζομεν γενεαὶ τῶν ἀνθρώπων· τὸ γὰρ πῦρ ἐσκήνωσεν ἐν σοὶ τῆς Θεότητος, καὶ ὡς βρέφος θηλάζεις τὸν κτίστην καὶ κύριον· ὅθεν τῶν ἀγγέλων καὶ ἀνθρώπων τὸ γένος ἀξίως δοξάζοντες τὸν πανάγιον τόκον σου συμφώνως βοῶμέν σοι, πρέσβευε τῷ σῷ υἱῷ καὶ θεῷ τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι τοῖς προσκυνοῦσιν ἐν πίστει τὸν ἄσπορον τόκον σου.

# ΛΟΓΟΣ

## ΕΙΣ ΤΟ ΜΑΡΤΥΡΙΟΝ ΤΟΥ ΑΓΙΟΥ ΘΕΟΦΙΛΟΥ.

### ΥΠΟ ΤΟΥ ΑΥΤΟΥ Γ. ΚΟΡΕΣΣΙΟΥ

Κύριε εὐλόγησον.

ΑΝΔΡΕΣ φιλομάρτυρες, ὁπόσοι ὑπὸ τῆς ἡδίστης μνήμης τοῦ Θεόφρονος Θεοφίλου ξυνελέγητε σήμερον, ἐν τῷδε τῷ σεπτῷ καὶ σεβασμίῳ τοῦ μεγαλομάρτυρος Ναῷ, τὴν ὑπέρλαμπρον ἐκείνου ἡμέραν, ἤγουν τοῦ Θεοφίλου, ἡδέως πανηγυρίσοντες αἴγλῃ τε καὶ φαιδρότητι ψυχῆς τῶν φαιδροτάτων ἀκτίνων τοῦ ἰδίου αἵματος ἀπολαύσοντες, ἡμῖν οἱόν τι ὑπὸ κέντροις ῥόδων εναποστιλβουσῶν τὴν ἀγλαόδωρον τῆς οὐρανίου δόξης λαμπρότητα, ὁρῶγε ὢ φιλόθεον σύστημα, πάντας ὑμᾶς, καὶ τοὺς καταβαλλομένους μοι λόγους εἰς τὸν Θεόφιλον μάρτυρα ἱλαρῶς καὶ μειλιχίῳ προσησομένους ἀκούσμασι, καίπερ παρισουμένης ἐπὶ τῷ λέγειν προόδου τῷ μεγέθει τῆς πανηγύρεως, πάνυτοι ἀπολειπομένους· ἀλλὰ γὰρ οὔκουν δὴ φαίνεταί γε θαυμαστόν· ἐὰν ἐκεῖνος μὲν ὁ τοῦ Κυρίου διάπυρος ζηλωτὴς, πρόςγε τοῖς ἄλλοις καὶ κατὰ τοῦτο τὸν καθηγεμόνα μιμούμενος, ἐπὶ δυοῖν ὀβολοῖν τῆς χήρας δωρήματι πολλῷ μεῖζον

www.tezaurliturgic.ro



καταθῆται τὸ μίσθωμα, ὑμεῖς δ' οἷα εὔνους, καὶ φιλάνθρωπος σύλλογος ἀκροάσησθε ἀναπεπταμένῃ τῇ διανοίᾳ καὶ μετ' οὐ μικρᾶς τῆς προθυμίας τῶν ὑπ' ἐμοῦ ἤδη λεχθησομένων· καθάπερ γὰρ τῶν καὶ μικροπρεπῶς γυμνικῶν ἀγώνων ἱστορουμένων πόθος ἐγγίγνεται τῷ τὸ σῶμα γυμνάζοντι, οὕτω τῆς τῶν μαρτυρικῶν ἄθλων τε καὶ ἀγώνων διηγήσεως καίπερ μὴ κεκαλλιεπημένοις καὶ ὑψηλοῖς, ἀλλὰ χθαμαλοῖς καὶ ἀγενέσι λόγοις ἀπαγγελλομένης, ἀκοῦντα ψυχὴν ἔρως συνέχει τὸν φιλομάρτυρα. Αἱ γὰρ τῶν μαρτυρικῶν ἄθλων διηγήσεις τοὺς πυραυγεῖς σπινθῆρας ἡμῖν τὴν πρὸς Θεὸν ὑπανάπτουσι φλόγα καὶ τοὺς φιλοχρίστους πρὸς εὐζωΐαν σφόδρα διανιστῶσι, κἂν τῇ ψυχῇ, ὥσπερ ἀγαθῇ ἀρούρᾳ, τὰ γόνιμα τοῦ ζωοποιοῦντος πνεύματος σπέρματα ἐπὶ μεῖζον αὔξουσι. Καὶ τῷ ὄντι, σοφῶς σοφός τις παρῄνεσεν εἰπὼν, μνήμη δικαίου μετ' ἐγκωμίων, καὶ ἐγκωμιαζομένου δικαίου εὐφρανθήσονται λαοί, θιγγάνει γὰρ ὡς ἀληθῶς τῶν ἀληθινῶν καὶ γνησίων ἐγκωμίων ἡ τοῦ δικαίου μνήμη μὴ ῥεούσης πολιτείας βροτῷ προσταττομένης οὖσα γε προγύμνασμα, ἀλλ' ἐξ ἀϊδίου ἀϊδίῳ Θεῷ διοικουμένης εἴσοδος ὑπάρχουσα περὶ ἧς καὶ ὁ μακάριος Παῦλος, ἀραρότως, ἔφη, προσεληλύθατε πόλει θεοῦ ζῶντος, Ἱερουσαλὴμ ἐπουρανίῳ, καὶ ἐκκλησίᾳ πρωτοτόκων ἀπογεγραμμένων ἐν οὐρανοῖς καὶ μυριάσιν ἀγγέλων πανηγύρει, ἐφ' ᾧ περ οὕτω λαμπρὰ καὶ βασιλικὴ οὖσα γε τυγχάνει ἡ παροῦσα πανήγυρις, ὥστε τῇ αἴγλῃ τῆς οἰκείας δόξης, οἷα μαγνῆτις λίθος πρὸς ἑαυτὴν τὸν σίδηρον ἕλκει, οὕτω πρὸς αὐτὴν, τὰς χριστοτερπεῖς καὶ φιλοχρίστους ψυχὰς ἐπάγεσθαι ἃς δὴ, καὶ εἰ δέοι συμπροθυμουμένας τῷ μάρτυρι, στοιχειώδει πυρὶ, χάριν τῆς θείας φλογὸς, καταφλέγεσθαι, διαδείκνυσιν, ἑπομένως δὲ καὶ μετὰ τῶν ἀειμνήστων πολιτῶν τῆς ἄνω Ἱερουσαλὴμ πόλεως, βουλομένους πολιτεύεσθαι. Οὐκοῦν ὦ ἀκροατήριον τῶν μαρτυρικῶν ἐγκωμίων φιλήκοον μᾶλλον τῶν σωματικῶν, τὰς ψυχικὰς ἀκοὰς προευτρεπίσοντας πρὸς ἀκρόασιν, ἄρξομαι πρὸς ὑμᾶς τῆς διηγήσεως.

Τοῦτον τοίνυν τὸν ἀοίδιμον καὶ τῆς ἀειζωΐας πολίτην Ζάκυνθος μὲν ἡ νῆσος ἤνεγκεν, ἤσκησαν δ' οἱ γονεῖς ἐκ πρώτης αὐτίκα τῆς ἡλικίας, καλοὺς καὶ ἐπιτηδείους τύπους μαλακῇ ἔτι γε οὔσῃ αὐτοῦ τῇ ψυχῇ ἐντυπώσαντές τε καὶ ἐγχαράξαντες. Ἤδη μὲν γὰρ τοὺς τῷ παιδὶ τὴν τοῦ εἶναι τελειότητα παρασχόντας, ἅμα καὶ τὴν τοῦ εὖ εἶναι, πολλῷ τῷ μέτρῳ, προελομένους μνηστεύεσθαι, ὅγε εἶχον ἀγαθὸν ἕξει τῷ παιδὶ κοινοποιουμένους, καὶ ταύτῃ προσδεικνύντας τὸ τῆς ἀκιβδήλου καὶ καθαρᾶς εὐγενείας

www.tezaurliturgic.ro



τεκμήριον. Σεμνύνειν γὰρ οἶδε γένος ἡ πανεύφημος καὶ πολυΰμνητος τοῦ Χριστοῦ πολιτεία οὐ τὸ τῶν ἀρχεγόνων λεπτουργούμενον, ἀλλὰ τὸ παντοίᾳ τῶν ἀρετῶν ἰδέᾳ περιλαμπόμενον· οὐ γὰρ τὸ φύσει γιγνόμενον, ἀλλὰ τὸ κατὰ προαίρεσιν πραττόμενον εὐφημίας ἄν τις εἰκότως ἀξειώσειε. Τέχνης δὲ τῆς ναυτικῆς ὁ Θεόφιλος μάρτυς εἴχετο· εἰ καὶ νῦν μὲν τὴν σωματικὴν, νῦν δ' ἐκείνης τὴν νοητικὴν μᾶλλον εἰργάζετο, ἐφ' ᾗ νοητικῇ δηλονότι εὐδόκιμος εἶναι ὅλως ἐσπούδαζεν· ἀντὶ γὰρ ἀστέρος καὶ ναυτικοῦ κανόνος, πρὸς τὸν ἀκύμαντον καὶ ἡσύχιον τῆς ἄνω Ἱερουσαλὴμ ὅρμον, ὁ ἱερὸς καὶ θεοτύπωτος νόμος τὸν ἄνδρα διΐθυνεν, ᾧγε οὗτος ἀπεπέμπετο ῥαδίως τὰς στασιαστικὰς καὶ τοῖς θορύβοις τῶν παθῶν κυμαινομένας θαλάττας, καὶ τῇ τῶν ζλυωδῶν τῆς ἡδυπαθείας γνόφων ἀπληστίᾳ ἐπετόλμει, καὶ πρὸς τὰς ἀντιπνεούσας καὶ ἐπανισταμένας τοῦ ἀθεμίτου πνεύματος ἀντεμβολὰς στεῤῥῶς διεναμμάχει, πανταχόθεν ἐκρίψας τὸν κίνδυνον καὶ τροπαιοῦχος ἐπιφαινόμνος· ὥστε οἷόν τι τῶν ἀῤῥαγῶν καὶ ἀπαρασαλεύτων ὀρέων τῆς πίστεως, πανταχόσε τῶν ἀπαιτούντων πραγμάτων, ὑπὸ πάντων τῶν ὀρθοδόξων διαφημίζεσθαι. Οὗτος τοίνυν ὁ ὑψηλόνους καὶ εὐκλεὴς τοῦ Κυρίου μάρτυς, καὶ εἰς Χίον τὴν ἡμετέραν πατρίδα, μετὰ πολλὰς ἑτέρας, ἀφίκετος ἐν ᾗ, ἐπὶ τὸ δέκατον καὶ ὄγδοον ἔτος τῆς ἐκείνου σχεδὸν προϊούσης ἡλικίας, εὐτόνως τε αἷμα, καὶ ἐπισκόπως καὶ τῶν μαρτυρικῶν στεφάνων ἠξίωται. Οὐ μακροῦ γὰρ μετὰ τὴν ἐπιδημίαν τοῦ χρόνου παραῤῥυέντος, ὕβρεως καὶ καταφρονήσεως τῆς τῶν Ἀγαρηνῶν θρησκείας καὶ τάξεως καὶ τῶν ὅσα ὁ ἐκείνων ἄθεσμος διαγορεύει νόμος, ἐπὶ τοῦ ἡγεμόνος Ἰσμαηλίτου, ἀπηνοῦς δράκοντος, τότε τὴν χώραν διοικοῦντος, ὁ μάρτυς γράφεται· ὅθεν οὖν κληθεὶς ὁ ἀνὴρ τῆς ὁσίας μνήμης διὰ τοῦ ῥαβδούχου ὑπὸ τοῦ τοιούτου δικαστοῦ, μηδὲν περὶ τοῦ ἀληθοῦς ἐξετάσαντος, κατὰ τοὺς τῆς ἀνομίας τῶν Ἀγαρηνῶν νόμους, τῇ ἀσεβεῖ τῶν Ἀγαρηνῶν βδελυρίᾳ καὶ κακοδοξίᾳ συντάττεσθαι, σὴν εὐσέβειαν παρωθούμενος· πρὸς τοῦ τοιούτου καὶ πάνυ βιάζεται, ἀλλ' ὦ τῆς ὑστάτης καὶ ἀνυπερβλήτου τῶν Ἀγαρηνῶν δυσσεβείας, βίᾳ τὴν τῆς ψυχῆς αὐτοκράτορα καὶ ἀβίαστον ὁρμὴν πρὸς τὴν οἰκείαν ἑλκόντων ἀσέβειαν· πῶς γὰρ καλὸν, προσονομασθείη τὸ βίαιον, εἴγε καθ' αὑτὸ καλὸν, δίκοθι καὶ οὐ βίᾳ προσπτύσσεται ὁ προσιέμενος; Ἢ γὰρ δῆθεν οὐκ ἂν καλὸν ἀποκληθείη, δι' οὗπερ ὁ ἐκείνῳ χρησάμενος εὐφημίας οὐκ αἴρεται, ἐπείτοιγε ὡς καὶ ἡ τοῦ ὀνόματος προσηγορία ξυμμαρτυρεῖ, τῇ βίᾳ ὅλως ἡ ἀρετὴ ἀντιπαρατάττεται. Ἀλλ' ὄντως αἱ τυραννικαὶ ἀρχαὶ, τὰ μέσα καὶ τὰ

www.tezaurliturgic.ro



τέλη τυραννικὰ δῆθεν ἀποκυΐσκουσι· πονηρῶν γὰρ σπερμάτων, πονηρὰ τὰ γεώργια. Ὁ ἐμψυχώτατος μέντοι γε τοῦ Κυρίου ζηλωτὴς οὐ σκοπῶν τῶν κινδύνων τὸ πρόςκαιρον, ἀλλὰ τῶν ἐπάθλων τὸ αἰώνιον, τὰς τοῦ δράκοντος ἀκρατεῖς ἀπειλὰς, μεστὰς ὠμότητος καὶ ἀπανθρωπίας οὔσας περὶ οὐδενὸς τίθεται· ἀλλὰ φησὶ μὴ δεῖν ὅλως τὴν μὲν εἰς Χριστὸν ἄμωμον καὶ ἀληθῆ πίστιν ἀπαναίνεσθαι, τὴν δὲ τῶν Ἀγαρηνῶν αὐχμῶσαν καὶ ψευδεπίπλαστον κακοθρησκείαν ὑποδέχεσθαι ἄτοπον εἶναι προσθεὶς καὶ ἀνάρμοστον. Τινῶν μὲν περιβλέπτων καὶ τιμίων τῷ βίῳ χάριν τοὺς ἀνθρώπους τὸν θάνατον τῆς ζωῆς προεξετάζειν, οἷον ὑπὲρ ἑαυτῶν δηλαδὴ, ἢ συγγενῶν ἢ πατρίδος ἢ ἀρχηγῶν ἢ ἑταίρων ἢ καθηγητῶν ἢ καὶ ἄλλων παραπλητίων μαχομένους, διὰ τῷ πάθει ἐναργέστερον γίγνεσθαι τὸν ἔρωτα, δι' αὐτῶν δ' ἁπανταχόσε τῆς οἰκουμένης ἀγαθὴν καὶ ἀνεξάλειπτον τῷ πατρὶ χρόνῳ τὴν μνήμην συμπαραπέμπειν· ταύτῃ γὰρ τὸ παθεῖν ἡ φήμη ἔμμισθον τοῖς τοιούτοις ἀπέδειξεν, ὑπὲρ δὲ τοῦ Δημιουργοῦ ἁρμοστοῦ καὶ παρακτικοῦ τοῦ ξύμπαντος, καὶ κατὰ τὴν πάγκαλον καὶ εὔρυθμον ἁρμονίαν ἐκεῖνο ξυνδήσαντός τε καὶ διακοσμήσαντος, μὴ τὸν πρόσγειον διὰ μαρτυρίου βίον κατατίθεσθαι καὶ θέατρον γίγνεσθαι τῷ κόσμῳ καὶ ἀγγέλοις καὶ ἀνθρώποις, κατὰ τὴν τοῦ Ἀποστόλου φωνὴν. καὶ τὸν μὲν ἀναμάρτητον Σωτῆρα Χριστὸν, οὗ οὐχ εὑρέθη δόλος ἐν τῷ στόματι, ὑπὲρ τῶν αἰχμαλώτων ὡς ἁμαρτωλὸν μυρία τῶν ἀνιαρῶν ὑποστῆναι· τοὺς δ' αἰχμαλώτους ὑπὲρ ἑαυτῶν καὶ τῆς οἰκείας ἀπολυτρώσεως μηδενὸς τῶν παθῶν ἀνέχεσθαι, ἀλλὰ τοῦ μὲν φωτὸς τῆς ἀληθινῆς πίστεως στέρεσθαι, τοῦ δὲ σκότους τῶν ἐναγῶν καὶ ματαίων τῆς τῶν Ἀγαρηνῶν ἀπιστίας ἀθυρμάτων ἐπέχεσθαι. Ἡ γὰρ τῶν Ἀγαρηνῶν ἀτερπὴς ἀπιστία, ἐξ ὧν ἐν τῷ μυθογράφῳ Κορρὰν ἔγνωμεν, παντοδαπῶν μύθων βρύει καὶ κωμῳδιῶν καὶ σατανικῶν λόγων, οἵτινές οὐ μόνον τῆς θεοπνεύστου διδασκαλίας ἀλλὰ καὶ πάσης ἀνθρωπείας δείξεως ὅλως ἐκπίπτουσι. Πολλὰ μὲν οὖν εὐθαρσῶς θεολογήσας ὁ τὴν ὀρθοδοξίαν κράτιστος καὶ ἄτρεπτος ἀνὴρ, εἱρκταῖς εὐθὺς κατὰ τὴν ἐπιταγὴν τοῦ λυσσώδους τυράννου τριημέροις ἐγκλείεται· εἶτα δὲ καὶ δεύτερον προσάγεται τῷ δικαστηρίῳ, περὶ τῶν αὐτῶν λήρων καὶ φληνάφων ὑπὸ τοῦ δυνάστου διενοχλούμενος. Ἀλλ' αὖ πάλιν τὸ στεῤῥὸν τῆς πίστεως ὄρος ἐν μέσῳ τῆς θαλάττης, ὡς ἀφρῶν τῶν παλαμναίων ἐπηρειῶν περιγιγνόμενον, ὢ τῆς εἰς Χριστὸν εὐλαβείας, καὶ θερμότητος, καὶ πάντα ἰσχύον ἐν τῷ ἐνδυναμοῦντι αὐτὸ Χριστῷ, μηδὲν φησὶ, δεδιέναι τοὺς

www.tezaurliturgic.ro



τὸ μὲν σῶμα κτείνοντας, τὴν δὲ ψυχὴν μὴ δυναμένους ἀπολέσαι, κατὰ τὸν εἰπόντα διήλθομεν διὰ πυρὸς καὶ ὕδατος, καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν· τὸ γὰρ ἐνταῦθα θνήσκειν ὑπὲρ Χριστοῦ, μὴ θνήσκειν εἶναι, ἀλλὰ ζῆν προσέθετο. Ἦ γὰρ μέλλειν τὸν φιλόχριστον, ἐκ μὲν τοῦ δοκοῦντος βίου, θανάτου δ' ὄντος, πρὸς τὴν εἰλικρινῆ ζωὴν ζέσει ζωῆς τῆς ἀληθινῆς μετακεῖσθαι· ὁ πιστεύων γὰρ εἰς ἐμὲ, φησὶ, κἂν ἀποθάνῃ ζήσεται· ἐπειδὴ δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας, μάλιστα δ' ὃς βούλεται σῶσαι τὴν ψυχὴν αὐτοῦ κατὰ τὴν ἀληθῆ σωτηρίαν, τὴν μὴ ὑποκειμένην μεταβολαῖς ἢ ἔνδοθεν ἢ ἔξωθεν, τὴν ὄντως ἀΐδιον καὶ ἀεὶ ἀκμαίαν ἔχουσαν τὴν σύστασιν, ἀπολέσει αὐτήν. Ἦ γὰρ πάσχοντος τοῦ σώματος, τρόπῳ τινὶ, καὶ ἡ ψυχὴ συμπάσχειν φαίνεται, διὰ τὸ χρῆσθαι ὡς ὀργάνῳ τῷ σώματι καὶ εἰδοποιεῖν αὐτὸ, καὶ ὅλως ἐν τῷδε τῷ κόσμῳ ἐνεργεῖν διὰ τῶν αἰσθήσεων, ὃν τρόπον ἔοικε καὶ ὁ τεχνίτης, κατὰ τὸν λόγον τῆς τέχνης, συμπάσχειν τῷ ἀτονοῦντι ὀργάνῳ, εἰ καὶ κατὰ τὴν οἰκείαν οὐσίαν, καὶ μὴ τὴν σωματικὴν ξύμμιξιν, ὅσον ὁ ἔξωθεν ἄνθρωπος φθείρεται, τοσοῦτον ὁ ἔνδον ἀνανεοῦται· ἐναντίων γὰρ συσῶν τῶν φύσεων, ἐναντίοις δήπου καὶ τελειοῦσθαι αὐτὰς ξυμβαίνει· ὅθεν καὶ ὁ ἱερὸς Παῦλος ἐπιθυμῶ, φησὶν, ἀναλῦσαι καὶ σὺν χριστῷ εἶναι· οὐ γὰρ ζώου ἀλλ' ἀνθρώπου θείου ζήσας ζωὴν διὰ τὴν ἐνδομυχοῦσαν ἐκείνῳ φλόγα πρὸς τὴν μακαρίαν ἀπόλαυσιν, τὴν φυσικὴν φθορὰν πρὸς τὰ χθόνια οὐκ ἀπεσείετο, μᾶλλον δὲ τῆς πρὸς τὴν οὐρανίαν ζωὴν ἐκδημίας ὠρέγετο· ἐφείλκετο γὰρ τὸ ὅμοιον πρὸς τὸ ὅμοιον. Ἀλλ' ἐπιστρεπτέον τὸν λόγον, οὗ προάγοντες αὐτὸν ἀπεπλανήθημεν· πολλὰ τοίνυν ὁ ἱερὸς μάρτυς, οὐ μόνον τῷ τυράννῳ, ἀλλὰ καὶ ἄλλοις ἐκείνῳ συνθακοῦσιν Ἀγαρηνοῖς ἀντιφθεγξάμενος πολὺν ἐκχέασι κατὰ τῆς ἀληθείας λῆρον, ὧν ἅπασα φαρέτρα κενὴ ἀπολέλειπται, καὶ ἐλευθέριον ῥήξας φωνὴν, ἐλεγκτικὴν τῆς τῶν Ἀγαρηνῶν ἀλογίας, καὶ ἐπὶ πετρῶν σπείρας τὸ παράπαν τὸ ἱερὸν σπέρμα μὴ προσηκαμένων, οὐ μόνον σφοδροτάταις αἰκίαις μαστιγοῦται, ἀλλὰ καὶ δεύτερον φυλακαῖς ἐνείργεται. Ἀλλ' ἡ μὲν τοῦ δικαίου μακαρία ψυχὴ, ἑδραία καὶ ἐῤῥωμένη τῇ πίστει ἀπισχυρίζετο πάνυ, πρὸς τὰς βασάνους ἐνδιδόναι ἀπέχουσα, ἡ δὲ τῶν ἀντιβαινόντων ἐναγὴς καρδία μᾶλλον τῆς τοῦ Φαραὼ κατεσκληρύνετο καὶ τὴν πτῶσιν ἐκείνου περιφανεστέρα ἐγίγνετο· οἱ γὰρ καταῤῥάκται τῆς θείας εὐσπλαγχνίας ἄκαρπα ὄντα ξύλα τοὺς ἀσεβεῖς μᾶλλον ἔσηπον ἤπερ ἐδρόσιζον· βλάπτειν γὰρ ἔοικέ πως

ΒΙΒΛΙΟΘΗΚΗ ΑΓΓΕΛΟΥ Ν. ΠΑΠΑΚΩΣΤΑ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

www.tezaurliturgic.ro



τὰ δυσκρασίᾳ κακιζόμενα ἡ ἀγαθὴ ἐνέργεια. Ἐπεὶ καὶ ἡ δρόσος τὰ ἄγονα δένδρα καὶ πρὸς ἐπικαρπίαν δύσκρατα μᾶλλον διαλύειν ἤπερ συντηρεῖν φαίνεται· ταύτῃ γὰρ ἐσκλήρυνε καὶ ὁ Θεὸς τὴν καρδίαν Φαραώ, καὶ οὓς μὲν θέλει ἐλεεῖ, οὓς δὲ θέλει σκληρύνει· εἰ γὰρ καὶ ἐλεεῖ τοὺς ἀξίους ἐλέους ὁ Θεὸς καὶ σκληρύνει ἐκείνους οἷς ξυνεπάγη σκληρίας τὸ ἐκμαγεῖον ὑπόπλεων, καὶ ὅλως ὡς ὄστρακον τῶν μαλακῶν τύπων ὄντας ἀνεπιδέκτους· ὅμως ἐπειδὴ οὐ βίᾳ οὐδ' ἀνάγκῃ, ἀλλὰ κατὰ θείαν ἀγαθότητα ἡ ἐνέργεια τοῦ Θεοῦ γίγνεται, πῇ μὲν δρῶντος, πῇ δὲ παραχωροῦντος, εἰκότως λέγεται ὁ φύσει ἀγαθὸς τοὺς κακοὺς σκληρύνειν, οὓς καί, ὡς κεραμεὺς τὰ σκεύη πλάττειν, ποιεῖν λέγεται, κατὰ τὴν δι' οὐρανίων αὐτῶν δυσκρασίαν, εἰ καὶ ὑφ' ἑαυτῶν ἔτι πλάττεται ἐκκαθαίροντα ἑαυτὰ ἀπὸ παντὸς μολυσμοῦ, τῆς προαιρέσεως αὐτῆς περιγιγνομένης. « Θέλει γὰρ ὁ Θεὸς πάντας σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν.» Ἀλλ' ἐπὶ τὸ προκείμενον ἐπανέλθωμεν· πάλιν δὲ τῆς εἱρκτῆς ἐκβληθεὶς ὁ ἱερὸς Θεόφιλος, περὶ τῶν αὐτῶν φληνάφων τε καὶ ληρημάτων ὑπὸ τοῦ ἐγγαστριμύθου καὶ θεομάχου τυράννου δοκιμάζεται· ἀλλ' ὁ μακάριος οὗτος τὴν ἐναρμόνιον σώζων (ὡς καὶ πρόσθεν) διδασκαλίαν τοῦ πνεύματος, παραπλησίως τοῖς πάλαι τῶν μαρτύρων πυρὶ καιομένοις, τὸν διὰ πυρὸς καταψηφίζεται θάνατον· τότε δὴ ὁ γενναῖος καὶ ἀκατάπληκτος τοῦ κυρίου μάρτυς καὶ δαιτυμὼν τῶν θείων ἑστιάσεων, ὥς περ ἂν εἰ βασιλικῆς ἀπολαύοι τραπέζης, τῶν μαρτυρικῶν ἐπάθλων τοῦ πόθου κατείχετο, ἐν ὀλίγῳ ὅλως τὴν στοιχειώδη φλόγα τιθέμενος· ἐν ἑαυτῷ γὰρ τὴν διάπυρον φλόγα τοῦ πρὸς Χριστὸν ἔρωτος περιέφερε, δι' ἣν τὸ παράπαν οὐκ ἠλλοίωσε τὴν διάθεσιν, πρὸς τὸν ἥλιον τῆς δικαιοσύνης ἀσκαρδαμύττων τοῖς τοῦ καθαροῦ νοῦ ὄμμασι τῶν αἰωνίων τὸ μέτρον, οἷα μὲν πόλος περὶ ἐκεῖνον ἑλισσόμενος οἷα δὲ σελήνη ὑπ' ἐκείνου φωτιζόμενος· τοιαύτην δ' ἦν τὴν τῆς ὀρθῆς γνώμης ὑποδεικνύων στεῤῥότητα, ὥστε καὶ ὡμαδὸν σχίζας ἄγειν ἐπιταττόμενον ὑπὲρ Χριστοῦ μὴ ἀπειθῆσαι. Λιπαροῦς δὲ καὶ ἀθρόου τοῦ τῶν ἀθλίων Ἀγαρηνῶν ὄχλου ἐν τῷ ὡρισμένῳ τόπῳ ἀφικνομένου μετὰ πλείστης ὅσης καταβοήσεως, πυρκαϊὰ ἐμπυρίζεται παμμεγέθης ἐν ᾗ δέσμιος ὁ καλλίνικος τοῦ Σωτῆρος μάρτυς ἐμβάλλεται· καιομένου δὲ τοῦ σώματος, ἡ ἄῤῥηκτος ἐκείνου καὶ ἄτρωτος μακαρία ψυχὴ ᾠδαῖς καὶ ὕμνοις δι' εὐφημίας ἦγε τὸν κτίσαντα αὐτὴν αὐτῷ συνιστῶσα, καὶ οἷα πηγὴ τῶν ἀγαθῶν, τῆς γενναιότητος ἕνεκα τοῦ μαρτυρίου, τὰ χαριστήρια ἀποτιννύουσα· ὅθεν μετάρσιος πρὸς οὐρανὸν ἀνεφοίτησε

ΒΙΒΛΙΟΘΗΚΗ
ΠΑΠΑΔΟΠΟΥΛΟΥ ...

www.tezaurliturgic.ro



τῶν καλλίστων ἀρετῶν χάριν, ἃς ὁ ἐν ταῖς μνήμαις μακάριος θανάτῳ ἐπεσφραγίσατο· αὗται γὰρ οἷα ῥόδ' ἅττα καλὰ καὶ εὔοσμα, οἷόν τινα ὁλόκληρον καὶ χαριέστατον κῆπον τὴν μακαρίαν ἐκείνου ψυχὴν καταλάμψαντα, καὶ ὡς πτερὰ εὐθαλῆ αὐτὴν πρὸς οὐρανὸν αἰωρήσαντα, δῶρον τίμιον καὶ Θεῷ καταθύμιον ἀπειργάσαντο. Ὅθεν οὖν οὐ μικρά τις εὐωδία τῆς πυρᾶς προϊοῦσα μεγίστην τοῖς παριοῦσι τῶν εὐσεβῶν τὴν παραμυθίαν ἐμνηστεύετο, οἱ δ' Ἀγαρηνοὶ τοῦ ταύτην ἕνεκ' ἀποσοβῆσαι ὗν τῇ φλογὶ ἐναπέρριψαν, ὃς δὴ καὶ ἐξῄει τῆς φλογός, ἡ δ' εὐωδία μᾶλλον ἐπεδίδου, τοὺς κατὰ τοῦ ὕψους λαλοῦντας τοῦ Θεοῦ ἐνεργῶς ἐπιστομίζουσα· ἐκείνου τοίνυν τοῦ μάρτυρος ἡ δεξιὰ ἐν τῇδε τοῦ μεγαλομάρτυρος Γεωργίου Μονῇ εὐωδιάζουσα διασώζεται. Ἄγε δὴ τοίνυν, ὦ φιλόθεον σύστημα, μιμηταὶ καὶ ἡμεῖς κατασταθῶμεν τοῦ μάρτυρος, μὴ ὡς τὴν ὄφεσιν φιλόζωοι καὶ τὰς ὑλικὰς ὀρέξεις λιχνότεροι, καὶ ταῖς τῶν αἰσθήσεων ἐπικρατείαις θηλυνόμενοι, ἀλλ' ἐντὸς τῶν μεγάλων καὶ καλλιόνων γιγνόμενοι καὶ τοῖς ὑπὲρ ἀρετῆς πόνοις ἐναμιλλώμενοι, καί, ἁπλῶς φάναι, οἷα ναῦται τῶν δυσπειθῶν καὶ ἀπλήστων παθημάτων κατακρατοῦντες κἀκεῖνα εὔηκρα παρασκευάζοντες, καὶ αὐτῶν πάντας τρόπους τὴν αὐθάδειαν περιστέλλοντες. Τουτὶ γάρ ἐστι τό, διὰ προαιρέσεως, τῷ μάρτυρι συγκατακαίεσθαι καὶ πρὸς οὐρανοὺς συνανιέναι καὶ εἰς τὴν ἀγγελικὴν χορείαν τε καὶ διακόσμησιν μεθαρμόζεσθαι καὶ ὅλως τῆς ὑλικῆς προσπαθείας καὶ παντοίας ἐγκοσμίου ἰλύος ἐξαναδύναι. Οὐκοῦν δικαίου ἂν εἴη ἡ τοιαύτη πανήγυρις, λιμὴν λυσιμέριμνος καὶ ἄγκυρα ἀσφαλής, μετὰ τὴν ἀπημαυρωμένην τοῦ δεινοῦ κλύδωνος ὁμίχλην, εὔδιον καὶ λυσιπήμονα ἡμῖν βίον ἀνακαινίζουσα· οὐχ ἧττον δὲ προσηνὲς καὶ σωτήριον ἔαρ μαρτυρικοῖς τῶν μαρτυρικῶν ἀρετῶν ῥόδοις ἀγλαῶς περικαλλυνόμενον, καὶ τῶν μὲν χθονίων ἢ ἀσταθμόνων καὶ ῥεόντων περιφρόνησις, τῶν δ' οὐρανίων καθὸ πιστοτέρων καὶ ἑδραιοτέρων κατανόησις. Αὐτῆς τοίνυν ἀξιωθῶμεν διὰ τῆς διττῆς τοῦ νῦν πρὸς τὰ κρείττω ἐπιβάσεως· οἷα μὲν ὄφεις, ἐν τοῖς ἐσχάτοις κινδύνοις, τῆς κεφαλῆς, ἤγουν τῆς πίστεως, ὅση δύναμις, ὑπερμαχοῦντες, οἷα δὲ περιστεραὶ τῇ τῶν καλλίστων ἀρετῶν καθαρότητι γενναίως ἐγκαρτεροῦντες, ξένοι μετὰ τοῦ μάρτυρος ἐν τῷ ξένῳ κόσμῳ φανῶμεν, ὅπως πολῖται τῆς ἀϊδίου καὶ ὄντως πολιτείας ἡμετέρας γενώμεθα· τὸ γὰρ τὸ παράπαν τῶν προσύλων καὶ ἐφημέρων ἡμᾶς ἀπαλλάττεσθαι αἴτιον γίγνεται τοῦ συντάττεσθαι καὶ ἐγκαταλέγεσθαι ἡμᾶς τῇ τῶν ἀθλοφόρων μαρτύρων χορείᾳ καὶ τοῦ ἀπολαύειν τῆς ἐπουρανίου βα-

www.tezaurliturgic.ro



σιλείας, ἧς γένοιτο ἡμῖν ἐπιτυχεῖν, χάριτι τοῦ ἀθλοθέτου Χριστοῦ καὶ μεσιτείᾳ τοῦ ἀθλητῆρος Φιλοθέου. Γένοιτο Χριστὲ βασιλεῦ! Γένοιτο!

Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.

Η πατέρων ὁμήγυρις, ὡς σωτηριῶδες πάντως τὸ βάπτισμα, θειωδῶς πάντας ἐδίδαξε, τὸ δὲ περιτέμνειν διεκώλυσε.

Μέγα ὄντως ἀνόμημα ἡ πολυγαμία, δημιουργήσαντος τοῦ Θεοῦ ἕνα πρωτόπλαστον, μίαν καὶ τὴν Εὔαν γονιμότητος.

Αμφοτέροις διαδίδωσι, κατ᾽ οἰκονομίαν ἴσην τε βούλησιν ὁ κριτὴς, ἶσον διάδημα, οἷα τοῦ δικαίου προϊστάμενος.

Θεοτοκίον.

Η Θεὸν παντοκράτορα μόνη δεξαμένη, Θεομακάριστε, ἀπὸ πάσης περιστάσεως καὶ κινδύνων σῶζε τοὺς ὑμνοῦντάς σε.

www.tezaurliturgic.ro



Ὠδὴ ε΄. ὁ εἱρμός. Ὀρθρίζοντες βοῶμέν σοι.

Συνὼν ταῖς οὐρανίαις δυνάμεσιν, ἀθλοφόρε, σωθῆναι ἱκέτευε τοὺς εὐσεβῶς ἀνυμνοῦντάς σε.

Τοῦ Ἁγίου.

Ενέθηκε σώους ἀνθρώπῳ κτίστης ζωῆς τοὺς ὅρους, τὴν βίαν καὶ πρόσταγμα χρόνῳ ποτὲ παραλλάττοντας.

Θεὸς συντετριμμένην τοῖς δάκρυσιν ὄντως λούει ψυχὴν οὐ πάντως δι' ὕδατος· οὐ γὰρ ψυχὴν ὕδωρ νίψειεν εἰμὴ τὸ τοῦ βαπτίσματος.

Ενυλα τῶν σωμάτων ἁρμόζεσθαι τοῖς ἀγγέλοις οὐδέποτε φήσομεν, ὡς οἱ ἐξ Ἄγαρ φρυάττονται.

Θεοτοκίον.

Λατρεύουσι τῷ τόκῳ σου, ἄχραντε Θεοτόκε, ἀγγέλων τὰ τάγματα καὶ τῶν βροτῶν τὰ συστήματα.

Ὠδὴ ς΄. ὁ εἱρμός. Ἱλάσθητί μου Σωτήρ.

Ιλύος ἐξανάδυς Θεόφιλος ὁ τρισόλβιος καὶ

www.tezaurliturgic.ro



ὁμαρτήσας Θεῷ καὶ μείνας στεῤῥότατος, μέχρι τέλους πάντοτε, τῇ ἀκολουθίᾳ, τοῖς ἀΰλοις συνηρίθμηται.

Οὐ ζόφος τῶν τῆς σαρκὸς, οὐ κόσμου ψῦχος διέτεμε τὸν ἔμπλεων τῆς φλογὸς καὶ αἴγλης τοῦ πνεύματος, τὸν σεπτὸν Θεόφιλον, τῆς τριυποστάτου ἑνιαίας τε θεότητος.

Φιλόθεος ἀληθῶς ὁ μέγας ὤφθη Θεόφιλος, οὐ κτῆμα, οὐδὲ χρυσὸν, οὐδ' ἄλλο κειμήλιον, βροτοῖς καταθύμια, ἐπόθησεν ὅλως εἰμὴ μόνον Θεὸν ὕψιστον.

Θεοτοκίον.

Ρυσθείημεν τῶν δεινῶν πταισμάτων ταῖς ἱκεσίαις σου, θεογεννήτωρ ἁγνὴ, καὶ τύχοιμεν, πάναγνε, τῆς θείας ἐλλάμψεως τοῦ ἐκ σοῦ ἀφράστως σαρκωθέντος υἱοῦ τοῦ Θεοῦ.

Κοντάκιον ἦχος γ'.

Ἡ Παρθένος σήμερον.

Χριστοῦ δῆμος σήμερον ἀνευφημεῖ ἐπαξίως, ἱματίοις πρέποντα βασιλικοῖς τοῦ Σωτῆρος, αἵμασι χριστοπρεπέσι τοῦ μαρτυρίου· ἄξιον τοῖς

www.tezaurliturgic.ro



τούτων ῥείθροις βωμὸν ῥαντίζειν, οἷς ἀκούει θεῖον θῦμα, τοῦ μαρτυρίου εἰκὼν ὁ θειότατος.

Ὁ Οἶκος.

Τὸν ἀκαμάτῳ ἔρωτι, τῶν θείων κάτοχον Θεόφιλον μάρτυρα, καὶ τούτῳ τοὺς ἱεροὺς πόνους τοῦ μαρτυρίου διανύσαντα, ξένον ἐν ταύτῃ τῇ νήσῳ καὶ νέηλυδα, ὄλβιον δὲ πολίτην τῆς ἄνω Ἱερουσαλήμ, καὶ ἐν τῷδε μὲν τῷ χαμερπεῖ καὶ ἐφημέρῳ κόσμῳ μικρὸν ἐγκλεισθέντα, ἐν δὲ τῷ ἀνωτάτῳ καὶ αἰωνίῳ ἀεὶ ὄντα ἐλεύθερον· καὶ τῷ μὲν κατωτέρῳ πυρὶ καταφλεχθέντα, τῷ δ' αἰωνίῳ τῆς χάριτος ὅλως λαμπρυνθέντα καὶ τρόπαιον κατὰ τῶν ἀντιθέων ἀράμενον, ἀξιώσωμεν ἐκ μέσης καρδίας, ὅπως ἡμῶν ἐμπλήσῃ τὸν νοῦν γνώσεως καὶ συνέσεως διηγήσασθαι τὰ ἐκείνου ἆθλα καὶ βοῆσαι, τοῦ μαρτυρίου εἰκὼν ὁ θειότατος.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

www.tezaurliturgic.ro



Τῷ αὐτῷ μηνὶ κδ΄. μνήμη τοῦ ἁγίου νεομάρτυρος Θεοφίλου τοῦ ἐν Χίῳ μαρτυρήσαντος.

Στιχ. Φιλῶν τὸν Θεὸν, Θεόφιλος προθύμως
πρὸς πῦρ δι᾽ αὐτὸν κινεῖται θαρσαλέως.
Εἰκάδι πυρὶ θάνεν Θεόφιλος ἠδὲ τετάρτῃ.

*Μελέτη περὶ μαρτυρίου ἐν γένει καὶ Ὀρθοδόξου πίστεως μετὰ ὑπομνήματος βιογραφικοῦ εἰς τὸν ἅγιον μάρτυρα ΘΕΟΦΙΛΟΝ τὸν Ζακύνθιον, φιλοπονηθεῖσα ὑπὸ τοῦ Ἱεροδιδασκάλου Κ. Στρατούλη.*

Η ἔνθερμος πρὸς Θεὸν ἀγάπη, ἡ τῶν τοῦ κόσμου καὶ τῶν τοῦ αἵματος σχέσεων ὁλικὴ ἀπαλλοτρίωσις, ἡ ἀκραιφνὴς αὐταπάρνησις, ἡ ἀντὶ τῶν προσκαίρων καὶ ἐφημέρων προτίμησις τῶν αἰωνίων, ἡ περιφρόνησις αὐτῆς τῆς ζωῆς, ὅταν ἀνωτέρας σφαίρας καθῆκον προσβάλληται, τὸ καθαρώτατον αἴσθημα τῆς τοῦ Θείου λατρείας, ταῦτα πάντα παρατηροῦνται ἰδιάζοντα εἰς τοὺς ἁγίους μάρτυρας. Οὗτοι εἶναι τῳόντι οἱ ἥρωες τῆς πίστεως, οἵτινες ὑπὲρ αὐτῆς, τῆς πατροπαραδότου καὶ ἱερᾶς παρακαταθήκης ὄντως, τοῦ κειμηλίου τούτου τῶν ἀνεκτιμήτων θησαυρῶν καὶ ἐθνικῶν χαρακτήρων, προσέφερον ἑαυτοὺς μετὰ χαρᾶς καὶ προθυμίας ἱερὰ σφάγια εἰς τὸν βωμὸν τῆς ὀρθοδοξίας· ὅθεν ἄσμενοι καὶ γενναῖοι ἀπεδύοντο εἰς τοῦ μαρτυρίου τὸν ἀγῶνα καὶ τὴν ἀθλοθεσίαν, ὡς ἀμνοὶ δὲ ἄμωμοι, ἐναντίον τῶν κειρέντων αὐτοὺς ἄφωνοι, κατὰ μίμησιν τοῦ ἀμνοῦ τοῦ Θεοῦ τοῦ αἴροντος τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐπορεύοντο συρόμενοι εἰς τὰ μακελεῖα καὶ τὰ παντοῖα βασανιστήρια. Οἱ Θεόστεπτοι λοιπὸν μάρτυρες, κάτοπτρον ἔχοντες καὶ ὑπόδειγμα τὸν Σωτῆρα αὐτῶν καὶ ἡμῶν τὸν Κύριον Ἰησοῦν Χριστὸν, τὸν ἐλευθερώσαντα τὸ ἀνθρώπινον γένος ἐκ τῶν ἀλύσεων τοῦ Διαβόλου καὶ τῆς ἁμαρτίας, τὸν ἐξαγοράσαντα τοῦτο διὰ τοῦ τιμίου αἵματος αὐτοῦ, τὸν υἱοθετήσαντα καὶ συνδιαλλάξαντα τοὺς πάντας τῷ Θεῷ

www.tezaurliturgic.ro



καὶ πατρὶ τῇ ἑαυτοῦ ἀξιομισθίᾳ, ἠγωνίσθησαν τὸν ἀγῶνα τὸν καλὸν καὶ τὸν ἔνδοξον, ὑποστάντες δὲ πολυειδεῖς καὶ πολυτρόπους βασάνους ἐγένοντο θύματα καὶ ὁλοκαυτώματα ὑπὲρ τῆς θείας ἡμῶν θρησκείας. Ἄς ἴδωμεν τοὺς καρποὺς τοῦ μαρτυρίου. Ἄπειροι εἶναι οἱ καρποὶ τοῦ Μαρτυρίου. Ἀφ᾽ ἑνὸς μὲν ὁ ἁγιασμὸς καὶ ἡ ἀνεκλάλητος αὐτῶν δόξα, ἀφ᾽ ἑτέρου δὲ ἡ ψυχικὴ ὠφέλεια καὶ οἱ οἰκοδομὴ τοῦ πλησίον. Καὶ τί δὲν κατώρθωσαν οἱ θεόσεπτοι μάρτυρες ὑπὲρ τῆς πίστεως; Ὁ χριστιανισμὸς τῳόντι, παρὰ τὴν θειότητα τῶν οὐρανίων αὐτοῦ δογμάτων καὶ τὴν ἁγιότητα τῶν ἐνταλμάτων τῆς ἠθικῆς τοῦ Εὐαγγελίου, παρέχει ἀπόδειξιν τῆς ἐναργείας καὶ ἀληθείας αὐτοῦ τὴν ἀκλόνητον τῶν μαρτύρων πεποίθησιν καὶ ἀφοσίωσιν εἰς τὸν Ἰησοῦν Χριστὸν καθὸ Θεὸν ἀληθινὸν καὶ Σωτῆρα τοῦ ἀνθρωπίνου γένους. Ἡ πίστις τῶν γενναίων τούτων ἀθλητῶν, ὡς πέτρα στερεὰ καὶ ἀῤῥαγὲς ὄρος, ἀσάλευτος ἔμενε πάντοτε. Τὰ δὲ μαρτυρικὰ αἵματα αὐτῶν, εἰς τὰ ὁποῖα, ὡς εἰς θάλασσαν, ἐπέπλεεν ἡ μυστικὴ κιβωτὸς τῆς Ὀρθοδοξίας ἀβλαβὴς καὶ ἀδιάφθορος, ἀνέβαινον ζωηρὰ, θερμὰ καὶ εὐώδη εἰς οὐρανοὺς καὶ κατέβαινον ἡγιασμένα καὶ εὐλογημένα ὑπὸ τῆς χειρὸς τοῦ Θεοῦ, ὅπως ποτίσωσι τὸ ἀμφιλαφὲς καὶ ἀειθαλὲς δένδρον τῆς πίστεως τοῦ υἱοῦ αὐτοῦ. Διὰ τοῦ κηρύγματος τῶν πανευφήμων Ἀποστόλων ἐξαπλωθεὶς θαυμασίως ὁ χριστιανισμὸς ἐμόρφωσε λαὸν περιούσιον, ἔθνος ἅγιον, βασίλειον ἱεράτευμα, καὶ ἡ ἁγία Σιὼν, ἡ μήτηρ τῶν ἐκκλησιῶν, τοῦ Θεοῦ τὸ κατοικητήριον, περικοσμηθεῖσα μὲ τὰ πορφυρᾶ αἵματα τῶν ἐν ὅλῳ τῷ κόσμῳ μαρτύρων, ἐγέννησε στίφη νέων ἄλλων ὀπαδῶν αὐτῶν, ὁμολογητὰς, ὁσίους, ἐγκρατευτὰς, ἀσκητὰς, ἐρημίτας, διδασκάλους καὶ θείους πατέρας. Ἰδοὺ καὶ ἡ ὑπερφυσικὴ δύναμις τῆς πίστεως! Οὔτε τὰ μεταλλεῖα ἔνθα ἔσκαπτον ἀναγκαστικῶς οἱ χριστιανοὶ, οὔτε ἡ ἀτίμωσις καὶ στέρησις τῶν πολιτικῶν δικαιωμάτων, ἅτινα ἦσαν καὶ τὰ ἐλάχιστα, οὔτε αἱ μαστιγώσεις καὶ οἱ αἰκισμοὶ, οὐδὲ αἱ ἐξορύξεις τῶν ὀφθαλμῶν καὶ ἡ ἐκκοπὴ τῶν χειρῶν καὶ τῶν ποδῶν, οὐδὲ ἡ σύντριψις πάντων τῶν τοῦ σώματος μελῶν, οὐδὲ ἡ ἀγχόνη, ὁ σταυρὸς ὁ βραστὸς, μόλυβδος, οἱ πεπυρακτωμένοι

www.tezaurliturgic.ro



χάλκινοι βόες καὶ οἱ λέβητες, οὐδὲ αἱ πυρκαϊαί, αἱ κάμινοι, αἱ μάχαιραι, καὶ οἱ ὑπὸ τῶν λεόντων, τίγρεων καὶ παρδάλεων κατακερματισμοί, σκληρὰ καὶ σπαραξικάρδια μαρτύρια, ἐπινοηθέντα ὑπὸ τῶν ἀσεβεστάτων καὶ τρομερωτάτων διωκτῶν, λέγω, τοῦ Νέρωνος, τοῦ Δομετιανοῦ, τοῦ Τραϊανοῦ, τοῦ Ἀδριανοῦ, τῶν Ἀντωνίνων, τοῦ Σευήρου, τοῦ Μαξιμίνου, τοῦ Δεκίου, τοῦ Οὐαλεριανοῦ καὶ τοῦ Διοκλητιανοῦ, πάντα ταῦτα οὐδόλως ὑπῆρξαν ἱκανὰ νὰ ἐκφοβήσωσι τοὺς μεγαλοψύχους καὶ ἀτρομήτους θείους μάρτυρας καὶ νὰ κάμωσιν αὐτοὺς ἀρνητὰς τῆς θείας ὀρθοδόξου πίστεως. Εἰς τρόπον ὥστε ἐν τῷ βαπτίσματι τοῦ μαρτυρίου διὰ τῆς θυσίας τῆς ἰδίας αὐτῶν ζωῆς, οἱ ἅγιοι μάρτυρες, καθὰ καὶ οἱ λοιποὶ τῆς πίστεως πρόμαχοι κατὰ τὸ ἐπ' αὐτοῖς, διεξεδίκησαν καὶ ὑπερήσπισαν τὴν καταδιωκομένην λατρείαν τοῦ Τριαδικοῦ Θεοῦ, τὴν μόνην λογικὴν καὶ ἐν πνεύματι, ἐξασφαλίσαντες τὰ τιμαλφέστατα συμφέροντα τῶν αὐτοῖς ὁμοδόξων καὶ ὁμοθρήσκων, τῶν ἐν Χριστῷ ἀδελφῶν, οἵτινες ἡγιάσθησαν διὰ τῆς θεογενεσίας, ἵνα μεταχειρισθῶμεν τὴν λέξιν τοῦ Ἀρεοπαγίτου Διονυσίου, καὶ ἐκαθαρίσθησαν ἐκ τοῦ προπατορικοῦ ῥύπου ἐν τῇ αὐτῇ ἁγίᾳ κολυμβήθρα τοῦ λουτροῦ τῆς παλιγγενεσίας. Παρὰ τοὺς αὐτοκράτορας τῆς Ῥώμης, τῆς νέας ταύτης Βαβυλῶνος, ἠγέρθησαν κατὰ καιροὺς ἄλλοι ἰσχυροὶ τῆς γῆς, ἔτι δὲ καὶ οἱ αἱρετικοί, οἱ ἐθνικοὶ φιλόσοφοι, μάλιστα οἱ Γνωστικοί, οἱ Ἰουδαῖοι καὶ Ἀγαρηνοί, ἅπαντες πεπωρωμένοι τὸν νοῦν καὶ σκληροὶ τὴν καρδίαν, ἀλλ' οὐδὲν κατώρθωσαν κατὰ τῆς ἀμώμου ἡμῶν πίστεως, τοὐναντίον κατετροπώθησαν ἡττημένοι καὶ κατῃσχυμμένοι. Ἐν ἑνὶ λόγῳ αἱ θύελλαι καὶ αἱ λαίλαπες τῶν τυράννων, αἱ βροχαὶ αἱ ῥαγδαῖαι καὶ οἱ σφοδροὶ ἄνεμοι τῶν αἱρετικῶν καὶ πάσης ἑτεροδιδασκαλίας, κατεξανισταμένης κατὰ τῆς ὑγιαινούσης διδασκαλίας, οὐδεμίαν ἐπιῤῥοὴν ἔλαβον κατὰ τῆς θείας χριστιανικῆς θρησκείας· διότι «καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς». Τὸ ὑπεσχέθη ὁ ἀλάνθαστος ἀρχηγὸς καὶ θεμελιωτὴς αὐτῆς, ὁ Λυτρωτὴς ἡμῶν καὶ Θεός, ὁ Κύριος Ἰησοῦς Χριστός, ὅστις χθὲς καὶ σήμερον ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας κατὰ τὸν μέγαν τῶν ἐθνῶν Ἀπόστολον.

www.tezaurliturgic.ro



Προασπισταὶ τῶν θείων δογμάτων, φύλακες τῶν ἠθικῶν ἐνταλμάτων καὶ διατηρηταὶ τῶν πατρικῶν παραδόσεων καὶ ἐθίμων, ἀνεφάνησαν οἱ γενναῖοι μάρτυρες κατὰ πᾶσαν ἐποχὴν καὶ ἑκατονταετηρίδα τῆς ἐκκλησίας. Ψυχολογικῶς δὲ καὶ ἠθικῶς ἐξεταζόμενοι οἱ ἱεροὶ οὗτοι ἀθληταὶ εὑρίσκονται ἔχοντες μίαν μόνην ἰδέαν εἰς τὸν νοῦν αὐτῶν, ἣν καὶ περιέθαλπον, τὴν τῆς ἀθανασίας, ἓν μόνον αἴσθημα βασιλεῦον ἐν τῇ καρδίᾳ αὐτῶν, τὸ τῆς θείας ἀγάπης, ὅπερ δι' ἀτρύτων πόνων καὶ ἀγώνων ἔτρεφον καὶ ηὔξανον. Ἦτοι ἡ ἐνόρασις τῆς Τρισυποστάτου Θεότητος καὶ ἡ μετ' αὐτῆς ἕνωσις ἦσαν τὸ περισπούδαστον εἰς αὐτοὺς μέλημα καὶ ἀντικείμενον. Μέσον δὲ καὶ ὄργανον τοῦ τελικοῦ αὐτῶν σκοποῦ, εἰς τὴν πραγματοποίησιν τοιαύτης ὑψηλῆς ἰδέας καὶ τοιούτου λαμπροῦ αἰσθήματος, ὅτε ἐκινδύνευον νὰ χάσωσι καὶ νὰ ἀρνηθῶσι τὴν θρησκείαν των, ἐθεώρουν τὸ μαρτύριον, τὸ ὁποῖον μετὰ χαρᾶς ἐλάμβανον, ὁσάκις τοῖς ἐπαρουσιάζετο καὶ τοῖς ἐδίδετο. Ἐντεῦθεν βλέπομεν ὅτι συνετέλουν τὰ βασανιστήρια καὶ ὁ θάνατος εἰς τὸ νὰ ἀποδείξωσιν ἐναργέστατα τὸν διάπυρον τῶν μαρτύρων ζῆλον εἰς τὴν τοῦ Ἰησοῦ Χριστοῦ πίστιν, τὸ ἀκλόνητον τῆς ἑαυτῶν ὁμολογίας καὶ τὸ στεῤῥὸν τῆς ἑαυτῶν ἐνδομύχου πεποιθήσεως. Ἐθυσίαζον δὲ οἱ ἅγιοι μάρτυρες τὸ ἔλαττον, τὸ σῶμα, ἵνα μὴ τοῦ κρείττονος στερηθῶσι, τῆς ψυχῆς καὶ τῆς αἰωνιότητος· βραβεῖον ἄφθαρτον περιέμενεν αὐτοὺς ὁ ἀμαράντινος τῆς μακαριότητος στέφανος, τὸν ὁποῖον ἐπὶ τῆς ἱερᾶς αὐτῶν κεφαλῆς ἐφόρει ὁ ἀθλοθέτης Χριστός, ὁ μονογενὴς υἱὸς καὶ λόγος τοῦ Θεοῦ, ὁ εὐλογητὸς εἰς τοὺς αἰῶνας, «ᾧ πᾶν γόνυ κάμψει ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται ὅτι Κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ Πατρός». (Φιλιπ. Β', 11).

Ἂς ἴδωμεν ἤδη ποῦ θεμελιοῦται ἡ ἁγία ἡμῶν πίστις. Τῷόντι ἀκαταμάχητος εἶναι ἡ ἀλήθεια τῆς ὀρθοδόξου ἐκκλησίας, τῆς μιᾶς, τῆς ἁγίας, τῆς καθολικῆς καὶ ἀποστολικῆς, καθὸ ἐρειδομένης ἐπὶ ἀκραδάντων βάσεων καὶ ἰσχυρῶν ἀποδείξεων. Ἡ ἐκκλησία διελθοῦσα πάσας τὰς φάσεις τῆς ἑαυτῆς ὑπάρξεως καὶ συντηρήσεως ὑπήνεγκε τοὺς μνημονευ-

www.tezaurliturgic.ro



θέντας φρικτοὺς διωγμοὺς καὶ τὰς πολυειδεῖς ἐνέδρας καὶ μηχανοῤῥαφίας, κατὰ συγχώρησιν καὶ συγκατάβασιν βεβαίως τῆς πανσόφου τοῦ Θεοῦ προνοίας, ὅπως φανερωθῶσιν οἱ πιστοὶ καὶ οἱ ἐκλεκτοί· ἀλλ᾿ ἀπὸ τῆς ἑαυτῆς συστάσεως μέχρι τοῦ αἰῶνος τηρεῖ τὴν ὀρθοδοξίαν ἀλώβητον καὶ ἀνεπηρέαστον. «Δεῖ γὰρ καὶ αἱρέσεις ἐν ὑμῖν εἶναι, ἵνα οἱ δόκιμοι φανεροὶ γένωνται ἐν ὑμῖν» (Παύλου Α΄. Κορ. ΙΑ΄, 19). Καταβαλοῦσα δὲ προῤῥίζους τὰς αἱρέσεις διὰ τῶν ἁγίων οἰκουμενικῶν Συνόδων καὶ διὰ τῶν σοφῶν συγγραμμάτων τῶν θείων Πατέρων καὶ ἄῤῥηκτον φοροῦσα τὸν χιτῶνα τῆς ἀληθείας, τὸν ὑφαντὸν ἐκ τῆς ἄνω θεολογίας, ὀρθοτομεῖ τὸν λόγον τῶν Γραφῶν καὶ μία εἰς τὸ διηνεκὲς διατελεῖ οὖσα, καθότι εἷς Κύριος, μία πίστις. Εἰς τὸν χαρακτῆρα τῆς ἑνότητος προστίθεται καὶ ὁ τῆς ἁγιότητος. Εἶναι ἁγία ἡ ἐκκλησία καθότι οἱ ἀληθινοὶ πιστοὶ ἡγιάσθησαν τῷ πανακηράτῳ καὶ τιμίῳ αἵματι τοῦ Ἰησοῦ Χριστοῦ. «Ἀλλὰ ἀπελούσασθε, ἀλλὰ ἡγιάσθητε, ἀλλ᾿ ἐδικαιώθητε ἐν τῷ ὀνόματι τοῦ Κυρίου Ἰησοῦ καὶ ἐν τῷ πνεύματι τοῦ Θεοῦ ἡμῶν» (Α΄. Κοριν. ς΄, 11). Τρίτος χαρακτὴρ εἶναι ἡ καθολικότης. Ὑπάρχει καθολικὴ ἡ ἐκκλησία· καθότι οἱ πιστοὶ παντὸς χρόνου καὶ τόπου καὶ πάσης ἐθνικότητος καὶ φυλῆς, καθόλου καὶ ἀνεξαιρέτως, ἀσπασθέντες τὴν οὐράνιον διδασκαλίαν τοῦ Θεοῦ τοῦ Εὐαγγελίου, τὴν χύνουσαν φῶς εἰς τὰ ὄμματα τοῦ νοὸς καὶ βάλσαμον παρηγορίας εἰς τὰς θλίψεις καὶ ἀνάγκας, καὶ τὴν ἀρχαιότητα ὑπ᾿ ὄψιν ἔχοντες, ἤτοι τὸ ἀκίβδηλον τῆς διδασκαλίας, βαδίζουσιν εἰς τὸν πρὸς ὃν ὅρον, ὑπὸ ἕνα καὶ τὸν αὐτὸν ἀρχηγὸν, τὸν Ἰησοῦν Χριστὸν, τὴν μόνην κεφαλὴν τῆς ἐκκλησίας καὶ τὸν μόνον ἀρχιποίμενα καὶ τελειωτὴν τῆς ἡμετέρας σωτηρίας, φρουρούμενοι ὑπὸ τὴν ἀναπεπταμένην σταυρότυπον σημαίαν τοῦ Ἀρνίου τῆς Ἀποκαλύψεως. «Οὐκ ἔνι Ἰουδαῖος οὐδὲ Ἕλλην· οὐκ ἔνι δοῦλος οὐδὲ ἐλεύθερος· οὐκ ἔνι ἄρσεν καὶ θῆλυ· πάντες γὰρ εἷς εἰσιν ἐν Χριστῷ Ἰησοῦ» (Γαλατ. Γ΄. 28) Τέταρτος χαρακτὴρ εἶναι ἡ Ἀποστολικότης. Ἐγκαυχᾶται δικαίως ἡ Ἀνατολικὴ ἐκκλησία ὅτι εἶναι Ἀποστολική· διότι ὡς κόρην ὀφθαλμοῦ διαφυλάττει τὴν ἔγγραφον καὶ ἄγραφον διδασκαλίαν τῶν θεοκηρύκων Ἀποστόλων καὶ ἑπομένως κα-

www.tezaurliturgic.ro



τέχει σώαν καὶ τὴν τῶν προφητῶν. «Ὄντες ἐπῳκοδομημένοι ἐπὶ τῷ θεμελίῳ τῶν Ἀποστόλων καὶ Προφητῶν, ὄντος ἀκρογωνιαίου λίθου αὐτοῦ Ἰησοῦ Χριστοῦ» (Ἐφεσ. Β'. 20).

Τὸ γνώρισμα τῆς Ἀποστολικότητος παρὰ τῇ Ἀνατολικῇ ἡμῶν ἐκκλησίᾳ διαφαίνεται καὶ ἐν τῇ ἐξωτερικῇ θείᾳ λατρείᾳ. Ὁ νοῦς ἀτενίζει εἰς τὴν τῶν ἄνω θεωρίαν, μεθ' ὑποκλίσεως καὶ ἄκρου σεβασμοῦ τὴν Θεότητα τιμῶν καὶ ἀγαπῶν ὡς ποιήτριαν ἑαυτοῦ καὶ πρόξενον τῆς σωτηρίας, τὰ ὄμματα δὲ καὶ αἱ λοιπαὶ αἰσθήσεις ἀπαιτοῦσι σημεῖα δι' ὧν ἐξωτερικεύεται τὸ θρησκευτικὸν αἴσθημα καὶ ἡ ψυχὴ αἴρεται γῆθεν πρὸς οὐρανόν. Αἱ τὴν ἐξωτερικὴν λατρείαν ὑποστηρίζουσαι παραδόσεις καὶ τὰ πατρῷα ἔθιμα, ἀμφότερα ἀναγκαιότατα, καὶ κατὰ τὸν μέγαν Βασίλειον ἐν Κανόνι ξς'. περὶ πνεύματος ἁγίου ἀκριβέστατα τηρητέα, φυλάττονται παρ' ἡμῖν μετὰ πάσης τῆς ἁπλοϊκότητος, ἀφελείας καὶ ἁγνότητος τῶν Ἀποστολικῶν χρόνων. Ἡ ἐξωτερικὴ λοιπὸν καὶ ἐσωτερικὴ λατρεία τοῦ Ὑψίστου, τὸ μυστηριῶδες καὶ τὸ αἰσθητὸν ἀποτελοῦσι τῷ ὀρθοδόξῳ Ἕλληνι ἕνα καὶ τὸν αὐτὸν κύκλον, μίαν καὶ τὴν αὐτὴν τῆς ἕλξεως σφαῖραν, ἡ δὲ ἀόρατος τοῦ Θεοῦ χάρις καὶ ἡ ὑλικὴ ἔνδειξις παρίστανται ὡς ἐκκλησιαστικὴ μονὰς ἡ λυδία λίθος τῆς θρησκείας, τῆς ὁποίας νὰ ἀντιληφθῶμεν ἀδύνατον ἄνευ πνευματισμοῦ καὶ ἐξωτερικῆς συνάμα παραστάσεως, διὰ τὸ διπλοῦν τῆς ἀνθρωπίνης φύσεως, συγκειμένης ἐκ σώματος καὶ ψυχῆς, καὶ τὴν ῥητὴν τοῦ Θεανθρώπου διαταγήν. Εἰς τρόπον ὥστε ἡ ἁγία ὀρθόδοξος ἡμῶν ἐκκλησία, διὰ τοῦ ὀρθοῦ μυστικισμοῦ καὶ πνευματισμοῦ, διὰ τῶν ἱερῶν ἐμβλημάτων καὶ τῆς λογικῆς αὐτῆς συμβολικότητος, συμπαγὲς καὶ ὁμοειδὲς τὸ θρησκευτικὸν αἴσθημα καθωραΐζει, διοχετεύουσα τοῦτο ζωηρὸν καὶ ἄσπιλον εἰς γενεὰς γενεῶν καὶ ἄχρι τῆς συντελείας τῶν αἰώνων.

Ἡ Θεοπνευστία τῶν Γραφῶν οὖσα βεβαιοτέρα καὶ προτιμοτέρα καὶ αὐτῆς τῶν αἰσθήσεων τῆς προσβολῆς παρέχει ἀξιόχρεων ἐγγύησιν τῆς ἀληθείας τῆς ἡμετέρας πίστεως. «Καὶ ἔχομεν βεβαιότερον τὸν προφητικὸν λόγον, ᾧ καλῶς ποιεῖτε προσέχοντες, ὡς λύχνῳ φαίνοντι ἐν αὐχμηρῷ τόπῳ, ἕως οὗ ἡμέρα διαυγάσῃ καὶ φωσφόρος ἀνατείλῃ ἐν ταῖς καρδίαις



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

www.tezaurliturgic.ro



ὑμῶν· τοῦτο πρῶτον γινώσκοντες, ὅτι πᾶσα προφητεία γραφῆς ἰδίας ἐπιλύσεως οὐ γίνεται. Οὐ γὰρ θελήματι ἀνθρώπου ἠνέχθη ποτὲ προφητεία, ἀλλ' ὑπὸ Πνεύματος Ἁγίου φερόμενοι ἐλάλησαν οἱ ἅγιοι Θεοῦ ἄνθρωποι.» (Πέτρου Ἐπις. Καθ. Β'. ά, 10—23). Ὁ χαρακτὴρ τῆς θεοπνευστίας τῶν Γραφῶν ἀπαρτίζων τὴν τῆς πίστεως θειότητα, ὡς καὶ ἡ ὑπερθαύμαστος τοῦ Εὐαγγελικοῦ κηρύγματος δύναμις, ἡ ἀποδειχθεῖσα ἀριδήλως εἰς τὴν ἐπιστροφὴν τῶν ἐθνῶν καὶ τὴν ταχεῖαν διάδοσιν καὶ προκοπὴν τοῦ Χριστιανισμοῦ, ἐχρησίμευσαν καὶ εἰς τὸν Ὠριγένη ἰσχυρὸν καὶ ἀήττητον ἐπιχείρημα κατὰ Κέλσου, καθὰ καὶ εἰς τὸν Τερτυλλιανὸν τὰ μαρτύρια. Τὸ χαρακτηρίζον τὴν θειότητα ἡ περὶ μελλόντων ἐστὶν ἐπαγγελία, οὐ κατ' ἀνθρωπίνην φύσιν λεγομένων καὶ ταῖς ἐκβάσεσι κρινομένων· ὅτι θεῖον πνεῦμα ἦν τὸ ταῦτα ἀπαγγέλλον.» Καὶ ἀλλαχοῦ . . . . « ὥστε ἕλληνας καὶ βαρβάρους, σοφούς τε καὶ ἀνοήτους προθέσθαι τῇ διὰ Ἰησοῦ θεοσεβείᾳ, μεῖζον ἢ κατὰ ἄνθρωπον τὸ πρᾶγμα εἶναι λέγειν οὐ διστάζομεν, μετὰ πάσης ἐξουσίας καὶ πειθοῦς περὶ τοῦ κρατυνθήσεσθαι τὸν λόγον τοῦ Ἰησοῦ διδάξαντος κ. λ. » (Ἴδε Ὠριγ. κατὰ Κέλσου καὶ Φιλοκαλίαν τοῦ αὐτοῦ). Τὸ Καπιτώλιον τῆς Ῥώμης, ὁ Ἄρειος Πάγος τῶν Ἀθηνῶν καὶ ἡ Ἀλεξάνδρεια ἡ, μετὰ τὰς ἀρχαιότερον γενομένας μητροπόλεις τῶν Θηβῶν καὶ τῆς Μέμφιδος, καθέδρα τῆς Αἰγύπτου, εἶδον τὸν Σταυρὸν προπύργιον ἑαυτῶν, χριστιανίσασαι ἀπὸ ἐθνικῶν καὶ εἰδωλολατρικῶν τῷ λόγῳ τοῦ πτωχοῦ καὶ ἀγραμμάτου ἁλιέως, τοῦ περιφρονουμένου σκηνοποιοῦ καὶ τοῦ διωκομένου Εὐαγγελιστοῦ. Ἡ δεξιὰ τοῦ ὑψίστου ἐποίησε ταύτην τὴν ἀλλοίωσιν. « Ὅτι πᾶν τὸ γεγεννημένον ἐκ τοῦ Θεοῦ νικᾷ τὸν κόσμον· καὶ αὕτη ἐστὶν ἡ νίκη ἡ νικήσασα τὸν κόσμον, ἡ πίστις ἡμῶν ». (Α'. Ἰωάν. Ε', 4). Τοῦ θείου λόγου τὴν ἐξαίσιον δύναμιν ἔδειξεν ὁ Θεὸς πρὸς τὸν προφήτην Ἰεζεκιὴλ, ἐν μέσῳ τοῦ πεδίου τοῦ μεστοῦ ὀστέων ἀνθρωπίνων εἰπών· « Προφήτευσον ἐπὶ τὰ ὀστᾶ ταῦτα καὶ ἐρεῖς αὐτοῖς, τὰ ὀστᾶ τὰ ξηρὰ, ἀκούσατε λόγον Κυρίου » (Κεφ. λζ'.). Ὁ ἐκφαντορικώτατος Ἰεζεκιὴλ ἐκήρυξε, καὶ ἅμα ἔπος ἅμα ἔργον· τὰ ἀναίσθητα καὶ ξηρὰ ὀστέα ἐ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

www.tezaurliturgic.ro



λαβον αἴσθησιν καὶ ἠγέρθησαν «Καὶ ἐπροφήτευσα, καθὰ ἐνετείλατό μοι Κύριος, καὶ εἰσῆλθεν εἰς αὐτοὺς τὸ πνεῦμα καὶ ἔζησαν καὶ ἔστησαν ἐπὶ τῶν ποδῶν αὐτῶν, συναγωγὴ πολλὴ σφόδρα». Τοῦτο φανερόνει ὅτι ὁ λόγος τοῦ Θεοῦ εἶναι ψυχή, ζωὴ καὶ ἀνάστασις εἰς τοὺς ἀκροωμένους καὶ φυλάσσοντας αὐτόν, οἵτινες ἀξιοῦνται καὶ τοῦ μακαρισμοῦ. «Μακάριοι οἱ ἀκούοντες τὸν λόγον τοῦ Θεοῦ καὶ φυλάσσοντες αὐτόν» ὁ δὲ οὐρανοβάμων Παῦλος ἐξηγεῖ τὸ αἴτιον· διότι, λέγει, ὁ λόγος τοῦ Θεοῦ εἶναι ζῶν καὶ ἐνεργῶν καὶ κόπτει ὑπὲρ πᾶσαν μάχαιραν δίστομον. «Ζῶν γὰρ ὁ λόγος τοῦ Θεοῦ καὶ ἐνεργὴς καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον, καὶ διϊκνούμενος ἄχρι μερισμοῦ ψυχῆς τε καὶ πνεύματος ἁρμῶν τε καὶ μυελῶν καὶ κριτικὸς ἐνθυμήσεων καὶ ἐννοιῶν καρδίας.» (Παύλ. Ἐπις. πρὸς Ἑβρ. Κεφ. Δ΄. 12—13). Ὁ λόγος τοῦ Θεοῦ, τὸ οὐράνιον τοῦτο μάννα, τρέφει τὸν νέον Ἰσραὴλ μᾶλλον ἢ τὸν ἀρχαῖον ἐν ἐρήμῳ, διδάσκει τὸν θεῖον νόμον ὅστις εἶναι κατὰ τὸν Προφητάνακτα λύχνος τοῖς ποσὶ καὶ φῶς ταῖς τρίβοις ἡμῶν, ἢ κατὰ τὸν Θεολόγον Γρηγόριον ψωμίον Ἀγγέλων. «Ἄρτος Ἀγγέλων ὁ λόγος τοῦ Θεοῦ, ᾧ ψυχαὶ τρέφονται, Θεὸν πεινῶσαι». Ὁ λόγος οὗτος, κηρυττόμενος τακτικῶς καὶ ἐν τοῖς ἀγροῖς καὶ ἐν ταῖς πόλεσιν ἐπίσης, τρέφει τοὺς πιστοὺς ψυχικῶς, προάγων δὲ τὴν γνῶσιν τῶν δογμάτων καὶ τῶν τῆς ἠθικῆς παραγγελμάτων διασαφηνίζει τὰ ἄρθρα τῆς πίστεως καὶ δηλοποιεῖ τὰ ἁμαρτήματα καὶ τὰς ἀρετὰς ἔτι δὲ καὶ τὰ καθήκοντα τοῦ χριστιανοῦ. Ὡς δὲ ἡ ἔλλειψις τοῦ ὑλικοῦ ἄρτου ἀποτελεῖ τὴν πεῖναν τοῦ σώματος, οὕτω καὶ ἡ στέρησις τοῦ πνευματικοῦ ἄρτου τὸν λιμὸν τῆς ψυχῆς, φέρουσα μεθ' ἑαυτῆς τὸν θάνατον ἤτοι τὴν αἰωνίαν κόλασιν. Καὶ ἐπειδὴ κατὰ τὴν διαβεβαίωσιν τοῦ μακαρίου Πέτρου ὁ ἀντίδικος διάβολος, ὡς λέων ὠρυόμενος, περιπατεῖ ζητῶν τίνα καταπίει, τούτου ἕνεκα, ἵνα ποιμαίνηται καλῶς τὸ ποίμνιον τῶν λογικῶν προβάτων, ἀπαιτεῖται νὰ διδάσκηται συνεχῶς καὶ κατὰ πᾶσαν περίοδον τοῦ ἐνιαυτοῦ ὁ λόγος τοῦ Θεοῦ, ὁ ἀφανίζων καὶ καταργῶν τὸν διάβολον καὶ ἀπαλλάττων τὸν χριστιανὸν ἐκ τῶν ὀνύχων αὐτοῦ. Ἡ ἐκ τοῦ θείου

www.tezaurliturgic.ro



λόγου ὠφέλεια εἶναι μεγίστη· διότι διὰ τούτου μανθάνει ὁ χριστιανὸς τά τε πιστευτέα καὶ τὰ πρακτέα, ἑπομένως διαφωτιζόμενος τὸν νοῦν καὶ καταπραϋνόμενος τὴν καρδίαν γίνεται ἐνάρετος χριστιανὸς καὶ ἀγαθὸς πολίτης. Ἡ ἠθικὴ μόρφωσις τοῦ χριστιανοῦ κάμνει τὸν ἀληθῆ ἐξευγενισμὸν οὐχὶ δὲ ἡ τοῦ αἵματος εὐγένεια. Ἀλλοίμονον εἰς τὴν κοινωνίαν ἔνθα δὲν κηρύττεται ὁ λόγος τοῦ Εὐαγγελίου τῆς εἰρήνης καὶ δὲν σπείρεται ὁ σπόρος τῆς δικαιούσης πίστεως, τῆς δι' ἀγάπης ἐνεργουμένης. Ποιμένες καὶ ποιμαινόμενοι ὀφείλουσι νὰ ἐπιστήσωσι τὴν προσοχὴν αὐτῶν εἰς τοῦ θείου λόγου τὴν διάδοσιν καὶ τὴν κατευόδωσιν. Οἱ θεῖοι Πατέρες, ἀκολουθοῦντες τὴν εὐαγγελικὴν διδασκαλίαν, διετράνωσαν τὰ ἱερὰ δόγματα καὶ οὕτω τῆς ὀρθοδόξου τοῦ Χριστοῦ διδασκαλίας τὸ ὕδωρ γέγονε πηγὴ ὕδατος ἀλλομένου εἰς ζωὴν αἰώνιον, ἐκ τοῦ ὁποίου δηλαδὴ οἱ πίνοντες πηδῶσιν ἀφικνούμενοι εἰς τὴν ζωὴν τὴν αἰώνιον. Καθὼς δὲ ἡ σοφία τῶν ἀνθρώπων κατεσκεύασε τὰς τέχνας, καὶ τὰς φυσικάς, μαθηματικάς, ἠθικὰς καὶ πολιτικὰς ἐπιστήμας ἐχούσας ἰδιογενεῖς ἀποδείξεις καὶ ἐπιχειρήματα, οὕτω καὶ ἡ ἁγία ἡμῶν θρησκεία προσεκτήσατο τῇ τοῦ Θεοῦ ἀντιλήψει καὶ ἀρωγῇ ἰδιαζούσας ἀποδείξεις, τουτέστι τὰς τοῦ πνεύματος ἢ τῶν ἐφελκυόντων θαυμάτων καὶ σημείων, καὶ τὰς τῆς δυνάμεως ἢ τῆς βοηθούσης θείας χάριτος. «Καὶ ὁ λόγος μου καὶ τὸ κήρυγμά μου οὐκ ἐν πειθοῖς ἀνθρωπίνης σοφίας λόγοις, ἀλλ' ἐν ἀποδείξει πνεύματος καὶ δυνάμεως» (Α. Κορ. Β'. 4). Θεολογεῖ φιλοσοφῶν ὁ οὐρανομύστης Παῦλος. Τοῦτο δὲ ηὐδόκησεν ὁ Θεὸς ἵνα μὴ νομισθῇ ἡ πίστις ἐφεύρημα ἀνθρωπίνης διανοίας, ἀλλὰ κολοσσαῖον ἔργον τοῦ οὐρανοῦ. Ἵνα ἡ πίστις ἡμῶν μὴ ᾖ ἐν σοφίᾳ ἀνθρώπων, ἀλλ' ἐν δυνάμει Θεοῦ» (Αὐτόθι. 5.)

Ἂς μεταβῶμεν ἵνα ἴδωμεν ἐφαρμοζόμενα εἰς τὸν ἅγιον μάρτυρα Θεόφιλον τὰ περὶ μαρτυρίου ῥηθέντα. Εἱρκτή, δεσμά, βασανιστήρια, δαρμοὶ σκληροὶ καὶ μαστιγώσεις ἀπάνθρωποι, ἀπειλαὶ καὶ ὑποσχέσεις τῶν Ἀγαρηνῶν, καὶ αὐτὸ τὸ πῦρ, οὐδόλως ἴσχυσαν νὰ ἀποσπάσωσι τὸν θεῖον Θεόφιλον ἐκ τῆς εἰς Χριστὸν πίστεως. Ὁποίους λαμπροὺς ἀγῶνας καὶ φωτεινὰ

www.tezaurliturgic.ro



τρόπαια δὲν κατώρθωσεν ὁ Θεόφιλος κατὰ τῶν ἀσπόνδων καὶ θεομάχων ἐχθρῶν τοῦ Ἰησοῦ Χριστοῦ! Ὁ φαεινὸς οὗτος ἀστὴρ τοῦ νοητοῦ τῆς ἐκκλησίας στερεώματος ὁποίαν λάμψιν εἰς τοὺς χριστιανοὺς δὲν περιήστραψεν! Ὁποία καταισχύνη εἰς τοὺς μανιώδεις καὶ ἀντιχρίστους Ἀγαρηνούς! Ὁποῖον κλέος εἰς τὴν ἀμώμητον τοῦ Ἰησοῦ Χριστοῦ θρησκείαν! Ὀνόματι καὶ πράγματι φίλος Θεοῦ ἐχρημάτισεν ὄντως ὁ θεόφρων Θεόφιλος· οὗτος δὲν ἐπορεύθη εἰς τὴν βουλὴν τῶν ἀσεβῶν καὶ δὲν ἐστάθη ποτὲ ἐν ὁδῷ ἁμαρτωλῶν, παρασάγγας ἔξους ἀπεῖχε τῶν τρίβων τῆς ἡδυπαθείας καὶ ἀσελγείας. Ὁ καλλίνικος καὶ θεοφιλὴς τοῦ Χριστοῦ μάρτυς Θεόφιλος ἔχων εἰς τὰ ἐνδόμυχα τῆς καρδίας αὐτοῦ τὸ ἱερὸν πῦρ τοῦ θείου ἔρωτος καὶ τῆς χριστιανικῆς πίστεως εἰς τὴν ὁποίαν ἐγεννήθη, ἀνατραφεὶς ὑπὸ γονέων εὐσεβῶν ἐν τῇ ὀρθοδόξῳ Ζακύνθῳ, τῇ πατρίδι τοῦ Θαυματουργοῦ ἁγίου ἡμῶν Διονυσίου καὶ προστάτου, τοῦ συμπολίτου ἑαυτοῦ εἰς δὲ τὰ οὐράνια σκηνώματα τῆς Τρισηλίου Θεότητος ὁμοσκήνου, γενναιότατα ἠγωνίσθη κατὰ τῆς τῶν Ἀγαρηνῶν πλάνης καὶ κατεφρόνησε τὸ πρόσταγμα αὐτῶν, ὡς ἄλλοτε οἱ ἑπτὰ Μακκαβαῖοι μετὰ τῆς μητρὸς καὶ τοῦ διδασκάλου ὑπὲρ τῆς ἑαυτῶν θρησκείας ἀπεσκοράκισαν τὸ τοῦ βασιλέως Ἀντιόχου, ἀντιστάντες καὶ διὰ λόγου καὶ διὰ τοῦ αἵματος αὐτῶν. Ἀτρόμητος ὁ φίλος ὄντως Θεοῦ Θεόφιλος εἰς τὰς ἀκαταδαμάστους φλόγας τοῦ αἰθομένου πυρὸς ἠσπάσθη τὸν ἐπιβληθέντα αὐτῷ ἔνδοξον θάνατον, δείξας ἀπερίγραπτον ἀνδρείαν καὶ καρτερίαν, διακαεστάτου ζήλου ὑπὲρ τῆς ὀρθοδόξου πίστεως φαινόμενα, διήνυσεν εὐκλεῶς τὸ πολύμοχθον καὶ ἀκανθῶδες τῆς ἀθλήσεως στάδιον. Καὶ ἰδοὺ ἐγένετο ὁ Θεόφιλος κατὰ τὸ μαρτύριον ἐφάμιλλος τοῦ Εὐσταθίου καὶ τοῦ Ἀθηνογένους, τοῦ τὴν βασανιστικὴν πυρὰν θαῤῥαλέως πατοῦντος καὶ ψάλλοντος τὸ φῶς ἱλαρὸν ἁγίας δόξης, ὁμοταγὴς τοῦ Εὐτυχιανοῦ, τοῦ Λεωνίδου, τοῦ Μελανίππου, τοῦ Ζήνωνος, τοῦ Ἀλεξανδρείας Ἀστερίωνος, τοῦ Ἀρτεμιδώρου, τοῦ Ὠκεανοῦ, τοῦ Πιγέως καὶ Νείλου, τῆς Ἀγαθοκλείας καὶ τῶν δισμυρίων ἐν Νικομηδείᾳ καὶ παμπόλλων ἄλλων ἁγίων μαρτύρων πυρὶ τελειωθέντων. Ὁ παμμα-

www.tezaurliturgic.ro



κάριστος Θεόφιλος ἑορτάζεται σήμερον τῇ κδ΄. τοῦ Ἰουλίου ὑπὸ τῆς ἁγίας ἡμῶν ἐκκλησίας, καθὸ στεῤῥὸς ἀδάμας αὐτῆς καὶ τροπαιοφόρος ἀγωνιστὴς κατὰ τῶν χριστομάχων καὶ βαρβάρων Ἀγαρηνῶν. Ἐβραβεύθη δὲ ὑπὸ τῆς Ἁγιωτάτης Τριάδος τῷ στέφει τῆς ἀφθαρσίας ἐν οὐρανοῖς, ἐν δὲ τῇ γῇ διὰ θείων θαυμάτων καὶ ἰαμάτων ψυχῆς τε καὶ σώματος. Τὸ ἱστορικὸν τοῦ βίου τοῦ θείου μάρτυρος Θεοφίλου ἔχει οὕτω· Καταλιπὼν τὴν καλλίγονον Ζάκυνθον τὴν γενέτειραν αὐτοῦ γῆν, εὐσεβὴς, αἰδήμων καὶ σώφρων, ὡς τὸ τῆς ὀρθοδοξίας γάλα θηλάσας, καὶ τὸ δέκατον ὄγδοον τῆς ἡλικίας ἔτος ἄγων, συγκαταλέγη τῷ πληρώματι πλοίου τινὸς ἑλληνικοῦ διευθυνομένου εἰς τὴν κλασικὴν νῆσον Χίον, ἐξ ἧς καὶ ὁ πλοίαρχος ὡρμᾶτο, ἔνθα καὶ κατέπλευσαν. Ἀλλὰ βάσκανος ὀφθαλμὸς εἶδεν αὐτὸν καὶ διένεξις μετὰ τοῦ πλοιάρχου καὶ αὐτοῦ χώραν ἔλαβεν· ὅθεν κατόπιν τῆς ἐνοχλήσεως παρῄτησε τὸ πλοῖον αὐτοῦ, ὁπότε Ἀγαρηνός τις θαλασσινὸς ἐζήτησεν ἐπιμόνως, ἵνα παραλάβῃ τὸν Θεόφιλον ἐν τῷ ἰδίῳ αὐτοῦ πλοίῳ. Ὁ Θεόφιλος οὐδόλως ἐνέδωκεν εἰς τὰς προτροπὰς καὶ παρακλήσεις τοῦ ἀλλοφύλου, μὴ θέλων νὰ συμπλεύσῃ μετὰ ἀσεβῶν δουλωσάντων τὴν ἑαυτοῦ πατρίδα καὶ ποιούντων τοσαύτας ἀτιμώσεις εἰς τὸ ὁμόφυλον καὶ τὴν αὐτοκρατορίαν τοῦ τελευταίου Κωνσταντίνου. Ἡ ἀνδρικὴ ἀποποίησις ἠρέθισε τοσοῦτον τὸν βάρβαρον ὥστε καὶ νὰ συκοφαντήσῃ αὐτὸν ἐνώπιον τοῦ βδελυροῦ Καδῆ καὶ τῶν παρεστώτων Σεληνολατρῶν, ὡς ἐν τῇ κεφαλῇ φοροῦντα δῆθεν κάλυμμα κατὰ τὸ αὐτῶν ἔθιμον. Ὁ παράνομος ἐκεῖνος, ὡς εἵπετο, κριτὴς ἀξίαν τῆς ἑαυτοῦ καταγωγῆς ἀποφασίζει ἀπόφασιν, ἤτοι ἄλογον καὶ ἄδικον, νὰ τουρκίσῃ ὁ Θεόφιλος· πλὴν οὗτος ἄφοβος εἰς τὰς τῶν σφαδαζόντων Ἀγαρηνῶν ἀπειλὰς ἔμενε σταθερὸς εἰς τὴν πίστιν τῶν πατέρων αὐτοῦ καὶ τοσοῦτον ἀκλόνητος εἰς τὴν ταύτης ὁμολογίαν, ὥστε μετὰ παῤῥησίας καὶ ἐμφάσεως ἔλεγε πρὸς τοὺς τοῦ Μωάμεθ πιστοὺς, ἐγὼ δὲν ἀρνοῦμαι ποτὲ τὸν Θεόν μου τὸν Ἰησοῦν μου Χριστὸν, τοῦτον πιστεύω θερμῇ τῇ πίστει καὶ ἀδιστάκτως καὶ τοῦτον κηρύττω πάντοτε καὶ ἁπανταχοῦ. Παρωξύνθησαν οἱ μυσαροὶ καὶ δέσαντες χερσί τε καὶ ποσὶν ἠ-

www.tezaurliturgic.ro



συνήθησαν νὰ περιτέμωσι τὸν Θεόφιλον διὰ τῆς βίας. Προητοιμάζοντο μάλιστα νὰ στείλωσιν αὐτὸν εἰς Κωνσταντινούπολιν, ὡς μόσχον σιτευτὸν, δῶρον τῷ βασιλεῖ αὐτῶν καθὸ εὐειδέστατον καὶ ἐξόχου ὡραιότητος νέον. Ὁ στεῤῥὸς εἰς τὴν ὀρθόδοξον τοῦ Χριστοῦ πίστιν Θεόφιλος ἐδέετο τοῦ Ὑψίστου θερμότατα ἵνα ἐλευθερώσῃ αὐτὸν ἐκ τῶν παλαμναίων χειρῶν τῶν βαρβάρων καὶ δείξῃ αὐτῷ ὁδὸν φυγῆς. Ὁ Θεὸς εἰσήκουσε τῳόντι τῆς φωνῆς τοῦ πιστοῦ αὐτοῦ δούλου Θεοφίλου· ἐπειδὴ καθ᾽ ἣν ἑσπέραν οἱ Ἀγαρηνοὶ ἐξῆλθον τῆς οἰκίας ἵνα πορευθῶσιν εἰς τὸ Τζαμεῖον, ὁ Θεόφιλος ἐδραπέτευσεν ὡπλισμένος τῷ σημείῳ τοῦ τιμίου Σταυροῦ. Ἐπανακάμψαντες δὲ καὶ οὐχ εὑρόντες ἐζήτουν αὐτὸν εἰς τὰς οἰκίας τῶν αὐτοχθόνων χριστιανῶν, ἀλλ᾽ εἰς μάτην ἀπέβησαν αἱ ἔρευναι, διότι ὁ Κύριος εἶχεν αὐτὸν ὑπὸ τὴν σκέπην τῶν ἑαυτοῦ πτερύγων. Νῆστις τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας ὁ μάρτυς καὶ μετὰ τοσαύτας κακουχίας, μαστιγώσεις καὶ καταπιέσεις μετέβη εἰς τὸν οἶκον τοῦ πρώην αὐτοῦ πλοιάρχου, ὅστις περιποιηθεὶς ὑπεδέχθη φιλοφρόνως αὐτόν. Διὰ τὸν φόβον, ἐπὶ ποδὸς φαγών τι, κατέφυγεν ὁ Θεόφιλος λαθραίως εἴς τινα ὀρθόδοξον ναὸν, ἄχρις οὗ δραξάμενος τῆς εὐκαιρίας ἀνεχώρησεν εἰς Σάμον, ἐξ ἧς ὑποστρέψας εἰς Χίον καὶ συμβιβασθεὶς μετὰ τοῦ χριστιανοῦ πλοιάρχου προπαρεσκευάζετο νὰ ἐκπλεύσῃ. Ὅμως ἐγνώρισαν αὐτὸν οἱ Ἀγαρηνοὶ καὶ ἁρπάσαντες ἐπαρουσίασαν αὐτὸν πάλιν εἰς τὸ κριτήριον τῆς μαχαίρας καὶ τῆς ἀνομίας, μαρτυροῦντες καὶ ὑποστηρίζοντες ψευδῶς ὅτι ἠσπάσθη τὸν Μωαμεθανισμὸν ὁ Θεόφιλος· οὗτος δὲ γεγωνυίᾳ τῇ φωνῇ ἐκήρυττεν ὅτι εἶναι χριστιανὸς θέλων καὶ νὰ ἀποθάνῃ χριστιανός. Ὁ ἀσεβέστατος καὶ οὐδόλως ἑαυτὸν αἰδούμενος δικαστὴς δεχθεὶς τὴν ψευδομαρτυρίαν τῶν ἑαυτοῦ ὁμοπίστων ἐβίαζε τὸν Θεόφιλον νὰ ἐγκολπωθῇ τὴν Μωαμεθανικὴν θρησκείαν· ἀλλ᾽ ὁ ἥρως ἡμῶν ἀντέλεγε σφοδρῶς καὶ ἀποταθεὶς εἰς αὐτὸν ἐξεφώνει τούτους τοὺς λόγους· ἐγὼ δὲν προδίδω τὴν ἁγίαν ὀρθόδοξον πίστιν τοῦ Ἰησοῦ μου Χριστοῦ, δὲν γίνομαι ἐξωμότης, δὲν παραιτῶ τὸ φῶς ἵνα ἔλθω εἰς τὸ σκότος. Μὴ γένοιτο νὰ πράξω ποτὲ τοῦτο! Ἰδόντες οἱ Ἀγαρηνοὶ τὴν σταθερότητα

www.tezaurliturgic.ro



τοῦ Θεοφίλου εἰς τὴν αὐτοῦ πατροπαράδοτον πίστιν ἐβουλεύθησαν νὰ τὸν καύσωσι ζῶντα. Ὅμως ὁ Θεόφιλος παντάπασι δὲν ἐδειλίαζεν εἰς τὴν κατ' αὐτοῦ ἀπόφασιν· ὅθεν ἔμπλεως πίστεως ἔτρεχεν ἀπέναντι τοῦ φρικτοῦ ἐκείνου θανάτου, εἰς οὐδὲν λογισθεὶς τὰς παφλαζούσας φλόγας τῆς ἀναφθείσης πυρᾶς, πέριξ τοῦ ἐν Χίῳ εὐαγοῦς ναοῦ τοῦ μεγαλομάρτυρος ἁγίου Γεωργίου τοῦ τροπαιοφόρου, εἰς τῆς ὁποίας τὴν τροφὴν καὶ αὔξησιν, προσταγῇ τῶν βαρβάρων φονέων αὐτοῦ, ἔφερεν ἐπὶ τῶν ὤμων τὰ ξύλα ὁ πανανοίδιμος μάρτυς. Ὅτε τῆς πυρᾶς αἱ φλόγες ἤρχισαν κυματίζουσαι καὶ διαδιδόμεναι, ἐῤῥίφθη ὁ Θεόφιλος, ὅστις ἐπὶ τὰ πρόσω εἰσεπήδησε χαίρων καὶ ἀγαλλόμενος, ὕμνει δὲ τὸν Ἰησοῦν Χριστὸν καὶ ἀνέμελπεν, ὡς οἱ τρεῖς παῖδες εἰς τὴν κάμινον τοῦ πυρὸς, ὁ Θεὸς εὐλογητὸς εἶ. Προσευχηθεὶς λοιπὸν ὁ Θεόφιλος καὶ ποιήσας τὸ σημεῖον τοῦ τιμίου Σταυροῦ, τούτου τοῦ παλλαδίου τῆς ἐκκλησίας καὶ τοῦ ἀηττήτου ὅπλου τῆς ὀρθοδοξίας, ἐδέχθη τὸν πικρότατον καὶ ἀλγεινότατον ἐκεῖνον θάνατον καὶ παρέδωκε τὴν ἁγίαν αὐτοῦ ψυχὴν, τὴν πλήρη ὀρθοδοξίας καὶ πατριωτικοῦ ἑλληνισμοῦ εἰς χεῖρας Θεοῦ ζῶντος, κομισάμενος τῆς ἀφθαρσίας τὸ στέφος. Ἀλλ' ὢ τοῦ θαύματος ἐκ τοῦ σώματος αὐτοῦ, ὅπερ ἦτο ναὸς ὑπὸ τοῦ Θεοῦ κατοικούμενος, ἐξήρχετο εὐωδία πνευματικὴ γεμίσασα τὴν ἀτμοσφαῖραν μύρων, καὶ ἕνεκα τούτου οἱ Ἀγαρηνοὶ ἔῤῥιψαν ἐντὸς τῆς φλογὸς χοῖρον ὅστις καὶ ἔφυγε. Κατῃσχύνθησαν λοιπὸν καὶ ὡς πρὸς τοῦτο. Ἡ θεία εὐωδία τῶν μαρτυρικῶν σαρκῶν καὶ αἱμάτων τοῦ Θεοφίλου ἐπλημμύρει τὸν τόπον ἐκεῖνον, εὐωδία στηρίζουσα τοὺς παρερχομένους ὀρθοδόξους. Ἡ τέφρα καὶ τὰ μὴ φλεχθέντα ἐκ τῶν ὀστέων τοῦ ἁγίου μάρτυρος Θεοφίλου, ἐξαγορασθέντα ὑπὸ τῶν ὀρθοδόξων χριστιανῶν, σώζονται, παρέχοντα θαυματουργήματα καὶ χέοντα χάριτας καὶ ἴασιν πνευματικὴν καὶ σωματικὴν, μέρος μὲν ἐν τῷ ναῷ τοῦ μεγαλομάρτυρος ἁγίου Γεωργίου, ἔνθα τελεῖται ἡ μνήμη τοῦ ἡμετέρου μάρτυρος, μέρος δὲ ἐν τῷ ναῷ τοῦ τιμίου Προδρόμου ἐν Ἀτζικῇ, καὶ μέρος ἐν τῷ μοναστηρίῳ τοῦ ἁγίου μάρτυρος Μηνᾶ.

Ἡ Χίος περιώνυμος ἐπὶ τῆς ἀρχαιότητος καὶ ἐπὶ τοῦ χρι-

www.tezaurliturgic.ro



στιανισμοῦ, περίβλεπτος διὰ τὴν γέννησιν πολλῶν σοφῶν ἀνδρῶν καὶ βαθυπλούτων ἐμπόρων τῶν ἡμερῶν ἡμῶν καὶ διὰ παλλὰς ἐνδόξους ἀναμνήσεις, τὰ μέγιστα σέβεται καὶ εὐλαβεῖται καὶ δημοτελῶς πανηγυρίζει τὸν ἅγιον μάρτυρα τοῦ Χριστοῦ Θεόφιλον, λαβόντα τοῦ μαρτυρίου τὸν ἀμαράντινον στέφανον κατὰ τὸ 1635 ἀπὸ Χριστοῦ Σωτῆρος. Τελεῖται δὲ ἡ μνήμη αὐτοῦ, καθὰ προείρηται, τῇ 24 Ἰουλίου εἰς δόξαν Θεοῦ καὶ εἰς τιμὴν τοῦ ἁγίου νεομάρτυρος, οὗ ταῖς πρεσβείαις ἐλεῆσαι ἡμᾶς ὁ Θεὸς καὶ ἀπαλλάξαι πάσης συμφορᾶς καὶ παντὸς κακοῦ, θλίψεως καὶ κινδύνου! Ὁ σοφὸς καὶ θεολογικώτατος Γεώργιος ὁ Κορέσσιος, κλέος τῆς Χίου καὶ ἁπάσης τῆς Ἑλλάδος, πρόμαχος δὲ τῆς ἁγιωτάτης ἡμῶν Ὀρθοδόξου Ἀνατολικῆς Ἐκκλησίας, συνέταξε, σεβασμοῦ καὶ εὐλαβείας ἕνεκα, τὴν ἤδη πρῶτον ἐκτυπουμένην ἀκολουθίαν, πλέξας εἰς τὴν ἀρχαίαν ἑλληνικὴν τῷ νευρώδει καὶ γλαφυρῷ αὐτοῦ καλάμῳ καὶ τὸ ἐγκώμιον ἐν ταὐτῷ τοῦ ἁγίου μάρτυρος Θεοφίλου.

Ὠδὴ ζ΄. ὁ εἱρμός.

Οἱ ἐκ τῆς Ἰουδαίας καταντήσαντες.

Ἱλασκομένους τὸ θεῖον τοὺς δικαίους μεσίτας ἀεὶ κεκτήμεθα· ὡς Παῦλος πρὸς Ῥωμαίους ἐχρήσατο μεσίταις, καὶ Ἰὼβ δ᾽ ἐμεσίτευσε· καὶ κεντυρίων αὐτὸς πιστὸς Θεοῦ ἐκλήθη.

Λυτρωθῆναι πταισμάτων ἱκετεύειν δὲ κτίστην, λαὸς πρὸς δίκαιον τὸν Σαμουὴλ ἐβόα, ὑπὲρ αὐτῶν πρευσβεῦσαι.

www.tezaurliturgic.ro



Μωϋσῆς δὲ ὁ μέγας, τὸν Θεὸν ἱκετεύων τριῶν ἐμέμνητο. Θεὸς δ' ὑπερασπίζει ὑπὲρ Δαβὶδ ἀνθρώπων· ἔτι δὲ καὶ οἱ ἄγγελοι, ἐν τῇ πρεσβείᾳ, ἡμῶν μέμνηνται εἰς αἰῶνας.

Θεοτοκίον.

Σοφίας ἔμπλησον πάντας καὶ δυνάμεως θείας ἡ ἐνυπόστατος σοφία τοῦ ὑψίστου, διὰ τῆς Θεοτόκου, τοὺς ἐν πίστει σοι ψάλλοντας, ὁ τῶν πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η'. ὁ εἱρμός· Ἑπταπλασίως.

Σέλατι θείῳ δ' ἴσασι τὰς δεήσεις οἱ ἅγιοι, τῆς τρισσοφεγγοῦς μονάδος, φαιδρυνόμενοι, πολλῷ δὲ λαμπρότερον τῶν ὀφθαλμῶν τὰ χρώματα, αὐγαῖς τοῦ ἡλίου, θεωρούντων τὰ πρόσω, ὃν τρόπον οἱ προφῆται προεώρων τὰ πόῤῥω, μάλιστα δ' ἐπιόντα ἐλλάμψει τῆς Τριάδος.

Νοῦν δ' Ἰωάννης, ἔφησε, τῶν ἐθνῶν, ὡς ποιμάνωρ ἐν ἀποκαλύψει θεουργῷ ἐπίστασθαι, καλῶς ἐπιστάμενος τὰ ψυχικὰ νοήματα, καὶ τοῖς προεστῶσι τῶν προβάτων ὑπάρχειν· ὅπως κατευ-

www.tezaurliturgic.ro



θυνθῶσι τοῦ ποιμνίου αἱ πράξεις, πρὸς θείαν σωτηρίαν, εἰς πάντας τοὺς αἰῶνας.

Ὑπὲρ ἡμῶν πρεσβεύοντες τοῦ Θεοῦ δὲ οἱ ἄγγελοι, καὶ τὰς ἡμετέρας ἑπομένως ἴσασιν ἐννοίας ὡς πλούσιοι, καὶ τοῦ Θεοῦ δεόμενοι, τὰ τῆς γῆς εἰδότες, ὃ καὶ Πέτρος ἐδίδου, ἐπιστολῇ δευτέρᾳ, φάσκων μνείαν ποιεῖσθαι τῶν οἷς περ ἐπιστέλλει μετὰ δυσμὰς τοῦ βίου.

Ναὶ καὶ τρεῖς παῖδες μέσον σε, Ἀβραὰμ ἐπετίθεντο, καλῶς ἐγνωκότες τὰ τῶν ἄκρων γίνεσθαι μεσίταις νοούμενα· ὅθεν εἰκόνας στέργομεν μιᾷ προσκυνήσει, τὰς εἰκόνας τιμῶντες, πρωτότυπά τε ἔτι ἄλλως πάντων καὶ ἄλλως· ποιεῖ γὰρ πάντως σχέσις ἑνὶ διττὰ τιμᾶσθαι.

Τριαδικόν.

Τρισοφαῆ Θεότητα, ἑνιαίαν ἐκλάμπουσαν αἴγλην ἐκ μιᾶς τρισυποστάτου φύσεως, γεννήτορα ἄναρχον, ὁμοφυᾶ τε λόγον πατρὸς, καὶ συμβασιλεῦον ὁμοούσιον πνεῦμα, οἱ παῖδες εὐλογεῖτε, ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

www.tezaurliturgic.ro



Ὠδὴ θ΄. Ἐξέστη ἐπὶ τοῦτο ὁ Οὐρανός.

Ρητὸν τῇ ἐκκλησίᾳ τοῖς Ἱεροῖς τῶν ἁγίων εἰκόνων ἐγγράφεσθαι, Χειρὰμ καὶ Βεσελεὴλ τε δύω γραφεῖς γλύφειν Θεῷ ἐτάχθησαν. Γραπτοὺς χαρακτῆρας ἐν τοῖς ναοῖς ὡς χερουβὶμ καὶ βόες, καὶ λέοντες καὶ ὄφεις, ἐν τοῖς αὐταῖς πάντως ἐγράφοντο.

Οὐκ ἔξεστι τοὺς δαίμονας ἁμαρτίαν ἐκτικὴν καὶ πολύπλοκον ἔχοντας, τοῦ οὐρανοῦ ἀπολαύσειν ὅλως ποτέ· οὐ γραφικὸν τὸ κήρυγμα, λῆρος δὲ καὶ οὗτος τῶν ἀσεβῶν· αἱρέσεων τοιούτων, ῥῦσαι, Θεὲ τῶν ὅλων τοὺς προσκυνοῦντας σὴν θεότητα.

Φῶς θεῖον τοὺς δικαίους διὰ παντὸς καταυγάζει, τοῦθ' ὅπερ ἀπόλαυσις ἡ ...ερά, θεία πανδαισία χριστιανῶν· οὐσία γὰρ κατάλληλος τῇ ἀΰλῳ ὄντως καὶ ἡ τροφὴ, ἧς βρῶσις τε καὶ πόσις αὐξήσεως αἰτία, φθορὰν φερούσης ἀπελήλαται.

Ἐξέστη ἅπαν πλῆθος ἐφ' ἱερῷ Θεοφίλῳ τὸ φρόνημα ἔχοντι ὄντως ὀρθόν· νέῳ γηραλέον καὶ σταθερὸν, ὄντως νέον ὡς ἄληκτον ἦν ἀνθοῦν, ὡς

www.tezaurliturgic.ro



φοίνιξ τοῖς νοεροῖς ἀντίστροφον· διόπερ, καὶ τῷ πυρὶ ἐφλέχθη, ἔρωτι θείῳ πυρσευόμενος.

Θεοτοκίον.

Ὡραθῆς, ὦ παρθένε μήτηρ Θεοῦ, ὑπὲρ φύσιν τεκοῦσα ἐν σώματι τὸν ἀγαθὸν λόγον ἐκ καρδίας τῆς ἑαυτοῦ, ὃν ὁ πατὴρ ἠρεύξατο, πάντων ἐπέκεινα νοούμενος εἰ καὶ τὸ σῶμα περιβέβληται.

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Σὺν μάρτυρι εἰσέλθωμεν τοῖς ἐρυθροῖς ἐνδύμασιν, ἐν τοῖς λαμπροῖς ἀνακτόροις· ὥσπερ τινος βασιλέως, δηλοῖ δὲ τὸ ἐρύθημα πάθημα καὶ διαύγειαν, ᾗ λάμψουσιν οἱ δίκαιοι ἐν πανολβίοις θαλάμοις τῆς ὑπερφώτου Τριάδος.

Θεοτοκίον Ὅμοιον.

Προφῆται προεκήρυξαν, Ἀπόστολοι ἐδίδαξαν καὶ μάρτυρες θεοφρόνως τὸν σὸν υἱὸν, Θεοτόκε, τρανῶς καθωμολόγησαν θεὸν τῶν ὅλων, πάναγνε· μεθ' ὧν σε μεγαλύνομεν, οἱ διὰ σοῦ λυτρωθέντες τῆς παλαιᾶς καταδίκης.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

www.tezaurliturgic.ro



Εἰς τοὺς αἴνους ἱστῶμεν στίχ. δ΄. καὶ ψάλλομεν στιχηρὰ προσόμοια γ΄. δευτεροῦντες τὸ ά. ἦχος πλ. δ΄.

Ὢ τοῦ παραδόξου θαύματος.

Ἄνθος ἐφάνης ἀμάραντον, ἐν τῷ ἀγρῷ τοῦ Χριστοῦ, εὐωδίας ἀνάπλεως, πίστεως καὶ πράξεως, ὡς μελίττας δὲ εἵλκυσας τοὺς φιλεόρτους ἐσθίειν σήμερον· τοιούτου ἄνθους μέλι οὐράνιον καὶ θεῖον τίκτοντος, δεῖξον οὖν, Θεόφιλε πάντας αὐτοὺς, ὄντως ἑστιάτορας τῆς τούτου βρώσεως

Ὅμοιον.

Σώφρων ἐγένου, θειότατε, τῶν τοῦ Θεοῦ ἀγαθῶν, θεατὴς καθιστάμενος, κἀκεῖνα ἑλόμενος, καὶ τὰς κτηνώδεις ἀποτρεπόμενος ἐφέσεις ὅλως καὶ χαρασσόμενος πρὸς τὸν ὑπέρτατον χαρακτῆρα ἄϋλον, τὸν τοῦ Θεοῦ, τῷ τῇ Θείᾳ χάριτι πάντως ὁμοίωσαι.

Ὅμοιον.

Ἀγρὸν Θεοῦ σὲ γινώσκομεν, ἐν ᾧ τὰ ῥόδα ἀνθεῖ, τῆς ψυχῆς τὰ ἀνώτερα, θεία γνῶσις πρᾶξίς τε, καὶ κακῶν ἀπολύτρωσις, καὶ ἁγιότης οἷς περιήνθησεν, ὑπὲρ τοὺς κήπους τοὺς διαπρέποντας

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

www.tezaurliturgic.ro



κόσμου τερπνότητι, καταλλήλῳ ῥεύματι, ἢ καὶ σκιᾷ, ὅθεν νῦν συλλέξαντες τοῦτο εἰσήειμεν.

Δόξα ἦχος Πλ. δ'.

Τὸν ζηλωτὴν τοῦ ἀθλητοῦ μεγάλου Γεωργίου, οὗπερ ἐν οἴκῳ αὐτὸς σήμερον ἑορτάζεται, ἅπας λαὸς εὐφημείτωσαν· τοῖς γὰρ χρησταῖς πρέπει ὁ ἀοίδιμος ἔπαινος, τοὺς ἀθανάτους καρποὺς ἐκβλαστήσασιν, ὅπως δι' αὐτῶν ἡ τριττὴ στήλη τῆς χριστωνύμου πολιτείας ζηλωτὴ τοῖς πολίταις γένηται, τὸ ἀγαθὸν καὶ συμφέρον καὶ δίκαιον, καὶ μόνη πόλις ὠχυρὰ τῇ ἄνω Ἱερουσαλὴμ ἐφάμιλλος καὶ δοξασθῇ ὁ Θεὸς, διὰ θνητοῦ ἀθανάτου βουλὴν τῇ φύσει συνεξαλλάσσαντος, οὗ ταῖς πρεσβείαις ἐλεῆσαι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν Θεοτοκίον.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Δοξολογία μεγάλη καὶ ἀπόλυσις. Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ ἐκ τοῦ κανόνος ᾠδὴ γ'. καὶ ς'.

Ἀπόστολον καὶ Εὐαγέλιον ζήτει εἰς μάρτυρα, κοινωνικὸν εἰς μνημόσυνον.

957

www.tezaurliturgic.ro

## ΟΙ ΚΥΡΙΟΙ ΣΥΝΔΡΟΜΗΤΑΙ.

### ΖΑΚΥΝΘΟΥ.

| | | |
|---|---|---|
| Νικόλαος Μητροπολίτης Ζακύνθου | Σώμ. | 2 |
| Ἰάκωβος Ἱερομόναχος Βερτζάγιας | » | 2 |
| Παρθένιος Ἱερομόναχος Κόμης | » | 2 |
| Σπυρίδων Ἱερεὺς Κοντονῆς | » | 1 |
| Ἀντώνιος Χαβιάτης Ἀρχιδιάκονος | » | 1 |
| Δρ. Π. Κωνσταντᾶς | » | 1 |
| Νικόλαος Γ. Λεφτάκης | » | 1 |
| Διονύσιος Ἀλ. Γρυπάρης | » | 1 |
| | | Σ. 11 |

### ΚΕΦΑΛΛΗΝΙΑΣ.

| | | |
|---|---|---|
| Παπᾶ Ἄνθιμος Μαζαράκης Πρόεδρος Ἀρχιμανδρίτης | Σώμ. | 1 |
| Παπᾶ Εὐστάθιος Βουλισμᾶς | » | 2 |
| Παναγῆς Ἱερεὺς ὁ Ελάχος | » | 1 |
| Παπᾶ Εὐάγγελος Ποταμιάνος | » | 1 |
| Παπᾶ Χαράλαμπος Βουτσινᾶς | » | 1 |
| Κοσμᾶς Ἱερεὺς Μουρελάτος | » | 1 |
| Παρθένιος Ἱεροδιάκονος Τυπάλδος Πρετεντέρης | » | 1 |
| Θεόδωρος Ἀναγνώστης Κοντομίχαλος | » | 1 |
| Διονύσιος Ἀλεξανδράτος π. Σπυρίδωνος | » | 1 |
| Νικόλαος Τ. Φερέστης | » | 1 |
| Σπυρίδων Πολυκαλᾶς π. Νικολάου | » | 1 |
| Κωνσταντῖνος Τυπάλδος Χαριτάτος | » | 1 |
| Γεράσιμος Μιχαλίτσης π. Παναγῆ | » | 1 |
| | | Σ. 14 |

## ΠΑΡΟΡΑΜΑΤΑ.

Ἐν Προμετωπίῳ γράφε Θεολογικωτάτου, ἐν σελ. 29 ςίχῳ 9 ἀναγίνωσκε ὁ ἁγιασμὸς τῶν μαρτύρων, ἐν στίχῳ 7 γράφε καὶ ἡ, ἐν ςίχῳ 35 στίξον ὁ σταυρὸς, ὁ βραστὸς μόλυβδος, ἐν σελίδι 31 στίχῳ 30 πρόσθες Αὕτη θεμελιοῦται εἰς τὴν τῆς ἀληθείας μαρτυρίαν, ἐχούσης στῦλον καὶ ἑδραίωμα τὴν ἐκκλησίαν.

Ὅσα ἄλλα τυπογραφικὰ ἁμαρτήματα διέφυγον τὴν ὅρασιν ἡμῶν ἀφίενται εἰς τὴν ἐπιείκειαν τοῦ εὐσεβοῦς ἀναγνώστου.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ